Ἄριστον] Deest in Mst. locus tamen admonet, ut pro eo reponamus ῥᾷστον. TAYLOR. Lege, ῥᾷστον, *facillimum*: cui statim opponitur, χαλεπώτατον δὲ λόγῳ δηλωθῆναι, *difficillimum vero verbis declarari*. ita enim (non λόγον) cum Stephano legendum. MARKLAND. Ego locum hunc totum ita constitui: θαυμασιώτατον. ῥᾷστον μὲν γὰρ — καὶ τεχνίτῃ, pro vulgari hac lectione: θαυμασιώτερον. ἄριστον μὲν γὰρ — ὃ τεχνίτῃ. item λόγῳ δηλωθῆναι dedi pro λόγον δηλ. REISK.

Δόγον] Quia nimis pauca dixit hac de re Dionysius, consulendus est Demetrius Phalereus §. 128. 189. qui e veteribus rhetoribus, quantum scio, omnium optime de gratia et venusta oratione exposuit, exempla etiam commemoravit, quæ in hac re plus valent, quam regulæ et præcepta. MATTH.

Μελισμοῦ] Μελῶν Codd. Quæ, si vera lectio sit, ut veram esse suspicor, nullum hic locum habent aut Victor. aut Galeus ad Demetrium Phaler. p. 236. (non 336.) aut Iun. de pictura Vett. ad quos nos amandat Sylburg. TAYLOR.

Ἔργου τε καὶ πράγματος] Hoc est πράγματός τε καὶ πράγματος. Scribe, λόγου τε καὶ πράγματος. Sic infra, ἀχθόμενος λόγοις καὶ ἔργοις. MARKLAND. Non idem sunt, sed diversa, ἔργον et πρᾶγμα. Illud est, quod homines efficiunt manibus agitantque consiliis et exercent opera. hoc autem potest esse, quicquid est a natura, et conditio quæcunque hominumve rerumve. REISK.

Μέτριον] Sylburg. vult. μέτρον. IDEM.

Ὅπερ οἱ μουσικοὶ] Articulum e Sylburgii præcepto addidi. Proximum insequens ἔστι abesse malim. IDEM.

Διηχήμασι] Διηχήμασι, *dissonantiis*, ex mente P. Victorii Var. Lect. 13. 6. monente Sylburgio. TAYLOR. Victorius illo

μηδὲν ἄλλο ταύτης ἀκριβέστερον ζητεῖν κριτήριον, τοῦτο κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν Δυσίαν, καὶ τίς ἡ παρ' αὐτῷ χάρις ἐστὶ βουλομένοις μαθεῖν, ὑποθείμην ἂν ἐπιτηδεύειν χρόνῳ πολλῷ καὶ μακρᾷ τριβῇ καὶ ἀλύγῳ πάθει τὴν ἄλογον συνασκεῖν αἴσθησιν. ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ χαρακτηριστικωτάτην τῆς Δυσίου λέξεως ἔγωγε πείθομαι, εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν, εἴτε πόνου καὶ τέχνης ἐργασίαν, εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν ἢ δύναμιν, ᾗ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας. καὶ ὅταν διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων τἀληθὲς εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετὴν, ὡς ἐπὶ ψήφων ἐσχάτην. ἔπειτα ἂν μὲν αἱ χάριτες αἱ τῆς λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφὴν, τῆς Δυσίου ψυχῆς αὐτὴν τίθεμαι, καὶ οὐδὲν ἔτι ποῤῥωτέρω ταύτης σκοπεῖν ἀξιῶ· ἐὰν δὲ μηδεμίαν ἡδονὴν μηδὲ ἀφροδίτην ὁ τῆς λέ- lxix

in loco nec a se consulto ita emendatum esse docuit, nec cur ita correxerit dixit, nec interpretationem adjecit, nec hanc ob causam laudavit locum Dionysii, sed ut explicaret, quid sit ἄλογος αἴσθησις, nec denique satis diligens fuit in describendo. nam ter in hoc loco ab editis libris Dionysii discrepat. Ergo eodem jure hanc emendatio librario et Victorio tribui potest, nec ulla adest causa, cur consilio potius, quam per imprudentiam, aut quia nihil aliud ei tum in mentem veniebat, ita scriptum esse dicamus. Sylburgii porro interpretatio tota pendet ex etymologia, et ut isted vocabulum caret auctoritate, ita apud musicos dissonans consueto vocabulo διάφωνον appellatur. διχὴ quidem et διχῶν commemoratur, sed utrumque alienum ab hoc loco. Denique si vel maxime διχημα probatum esset vocabulum, notaretque dissonantiam, tamen non video, cur potissimum fiat mentio διέσεως in dissentiis. His ita examinatis veniebat in mentem e simili loco Dionysii ed. Sylburg. p. 10. 14. et Platonis p. 479. ed. Basil. A. 1556. legere ἐν τοῖς διαστήμασιν, in intervallis. Quam conjecturam auctoritate et judicio veterum musicorum probari, collatis Meibomii auctoribus musicæ in his locis potissimum, intellexi. Aristoxenus enim p. 14. de intervallis hæc habet: οὔτε γὰρ ἡ φωνὴ διέσεως τῆς ἐλαχίστης ἐλάττον ἔτι διάστημα δύναται διασαφεῖν, οὔθ' ἡ ἀκοὴ διακρίνεσθαι, ἔστι καὶ συνίναι τί μέρος ἐστὶν εἴτε διέσεως, εἴτ' ἄλλου τινὸς τῶν γνωρίμων διαστημάτων. Hic locus plane similis est nostro. Accedit Aristides Quintilianus p. 13. τούτων δὲ τῶν διαστημάτων ἐλάχιστόν ἐστιν ὃς ἐν μελῳδίᾳ δίεσις ἐναρμόνιος, εἶθ' ὃς παχύτερον ἀκούεται, τὸ ταύτης ἥμισυ, ἡμιτόνιον. Et Martianus Capella de Nuptiis Philol. IX. p. 179. apud eundem Meibomium: "Dico, inquit, quicquid recte sonuerit, aut tonum esse, aut hemitonium, aut quartam partem toni, quæ diesis appellatur." et p. 180. "Diesis vero interpretatio est, ut supra dixi, quarta pars toni." et Vitruv. 4, 5. "Hinc intelligitur, cur alibi ἀρμονία seu συμφωνία ἡ διὰ πασῶν (octavam dicunt nostri) quatuor et viginti diesis habere dicatur." Ex his efficitur h. l. legendum esse διαστήμασιν, et δίεσιν h. l. esse quartam seu minimam partem toni. Est ergo sensus hujus loci: Musici profitentur discipulorum sensum ita acuere, ut etiam minimum intervallum (vel, ad verbum, quartam partem toni) in intervallis animadvertant. Matth. Nil equidem causæ video, cur Dionysio minus liceuerit, quod alii διάστημα appellant, id idem διχημα appellare. Nullus equidem dubitavi γ cum χ mutare, cuicunque inventio istæc debebitur, sive casui, sive consilio, sive Victorio, sive typographo. Reisk.

Τῷ αὐτῷ] Dedi ἡ παρ' αὐτῷ, secundum Helmstad. et Victorium. Idem.

Χαρακτηριστικωτάτην] Revocavi hanc vetustarum editionum lectionem, pro qua Taylor nescio cur χαρακτηριστάτην suffecerit. error enim typographi profecto non fuit. Idem.

Ψήφων] Opinor ψῆφον. Quæ paulo post sequuntur pessime distincta sunt. ita oportuit: — μήποτ' οὐ Δυσίου ᾖ λόγος· καὶ οὐκέτι διάζομαι τὸν λόγον αἰσθησιν, οὐ δ' ἂν φανῇ δεινὸς εἶναι τά γ' οἷν ἄλλα μὴ δεινῇ καὶ πεπειρᾶσθαι ἐξειργασμένος ὁ λόγος· τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν, κατά τινας καὶ ἄλλους ἰδίους ἕξεως χαρακτῆρας (πολυειδὴς γὰρ τοῦτο), τὸ δ' ἰδίως καὶ κεχαρισμένως καὶ ἐναφροδίτως, Δυσίᾳ. Recte vero κατά τινας καὶ ἄλλους· ut De δεινότ. Demosth. p. 197.

ξεως χαρακτὴρ ἔχῃ, δυσωπῶ καὶ ὑποπτεύω, μήποτ' οὐ Λυσίου ᾖ ὁ λόγος, καὶ οὐκ ἔτι βιάζομαι τὴν ἄλογον αἴσθησιν, οὐδὲ ἂν πάνυ δεινὸς εἶναι τά γ' οὖν ἄλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος. τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν κατά τινας καὶ ἄλλους ἰδίους λέξεως χαρακτῆρας — πολυειδὲς γὰρ τοῦτο—, τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως, Λυσίᾳ· τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα, πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους, ὡς εἰσιν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν, οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς λέξεως, ὑποπτεύσας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστὶ καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος· ὃν οἶδ', ὅτι πολλοὶ καὶ χαρακτῆρα ἠγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μέντοι ὁ λόγος, ὁ καὶ τοῖς ὀνόμασιν ἁρμηνεῦσθαι δοκῶν ἰσχυρῶς, καὶ τοῖς ἐνθυμήμασιν εἰρῆσθαι περιττῶς, καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἄχαρίς ἐστι, καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα· μάλιστα δ' ἐγένετό μοι καταφανὴς, ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη, τοὺς χρόνους ἀναλογισαμένῳ. εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν, ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἄρχοντος, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ

πολλὰ καὶ ἀλλὰ εἰκῇ τιθεὶς ὀνόματα. et ita alibi. Xenophon. Ἀπομν. lib. III. p. 772. καλὸν γὰρ εἶναί τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. Thucydides II, 51. πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας. MARKLAND. ψῆφον. Huds. Scalig. REISK.

Ἡ ὁ λόγος] Articulum addidi. IDEM.

Λέξεως] Dedi ex Taylori præcepto, pro vulgari ἕξεως. IDEM.

Τεκμηρίῳ] Hæc quoque male distincta sunt, et leviter depravata. Lego: τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα, πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, — ὅτι τὴν χάριν οὐ προσβάλλουσι (l. προβάλλουσι) τὴν Λυσιακὴν, — ὑποπτεύσας τε καὶ βασανίσας, εὗρον οὐκ ὄντας Λυσίου. De hac re, scil. de genuinis et spuriis Lysiæ Orationibus dignoscendis Libellum scripsit Dionysius. MARKLAND. Delevi ᾧ, quod in vulgatis legitur pone λεγόμενα. verbum προσβάλλειν probum est et conveniens, atque exquisitum adeo, ductum ab aura efflante, adspirante e pomis recentibus, vino, hortis, similibus. REISK.

Ἐκείνης] Potest ferri, ut infra. Si quis tamen ἐκείνου malit (scil. τοῦ Λυσίου), per me licet. SYLBURG.

Εἰρῆσθαι] Vocem εἰρῆσθαι suspectam habeo, tametsi infra dicat ἐνθυμήματα λέγει. An εἰργάσθαι (vel ἐξειργάσθαι) περιττῶς? ut supra dixit: περιττῶς ἐξειργασμένος λόγος: et τῆς ἐξεργασίας τῶν ἐπιχειρημάτων, infra. MARKLAND.

Ἐπιμφαίνειν] ἐπιφαίνειν editi. ὑπαμφαίνειν Steph. cui consentiunt fere codices Sylburgii. Ille tamen vulgatam lectionem tuetur. ὑποφαίνειν Hudson. Scaliger quoque. TAYLOR. Ἐπιφαίνειν vera est lectio. Decepit viros doctos editio Aldina, in qua vitiose legitur ἐπ' ἐφαίνειν. Hanc exprimens H. Stephanus in textum recepit ἐπιμφαίνειν, ad marginem autem scripsit Π. [h. e. πότερον γεγαπτέον] ὑπιμφαίνειν. Ergo falsus Sylburgius, qui hanc lectionem codicibus tribuit. et Hudsonus supersedere poterat conjectura sua. Nam Rob. Stephanus et Sylburg. et MSS. omnes consentiunt in ἐπιφαίνειν. Et sic Dionysius in edit. Sylb. p. 123. 1. et Diogenes Laert. de re prorsus simili p. 70. ed. Steph. dialogi οὐκ ἐπιφαίνοντες τὴν Σωκρατικὴν αὐτοῦ εἰρωνείαν. MATTH.

Ἐγίνετό μοι] Sic dedi, pro vulgari ἐγένετο μέν. REISK.

γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης, ἰδιώτης γίνεται, καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε ἔτεσιν ἐντὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συν- lxx
τάξαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ ἀνδρὸς, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πράγμασιν ἀτόπως ἔχουσαν, οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι' ὑποψίας ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος· καὶ παρελθὼν τοὺς χρόνους, οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν γὰρ τῷ συμμαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται, καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές. οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπινίκην ἄρχοντας. ὅτι μὲν οὖν εἰσὶ λόγοι τοῦ ῥήτορος περί τε τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ ἔχω βεβαίως εἰπεῖν. ὅτι δ' ἐνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν. ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις· ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ

Καὶ τὰ περὶ] Haec sunt Sphyngis Ænigmata. Conjicio: καὶ πῶς ὁ περὶ τῆς εἰκόνος ἂν λόγος, ἔτεσιν ἐντὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντετάχθαι τοῦτον τὸν ἀγῶνα (f. λόγον) Ἰφικράτει; atqui quomodo Lysiæ esse potest oratio De Imagine, cum Lysias mortuus esset septem annis ante delationem (vel scriptionem) antequam haec actio intenderetur (vel oratio componeretur) Iphicrati? Fieri quidem potest, ut pro τοῦτον τὸν ἀγῶνα Noster scripserit ταύτην τὴν εἰκόνα, ita ut vox συντάξαι in aliam quampiam mutari debeat, ad hunc sensum, antequam haec imago Iphicrati decreta fuerat. Sed de his statuant Libri Scripti. Haec vero imago Iphicrati posita fuit, ὅτι μοῖραν Λακεδαιμονίων ἀπέκτεινε, Æschines adv. Ctesiph. p. 88. Corn. Nepos in Iphicrate: "hoc exercitu moram (μοῖραν vel μόραν) Lacedæmoniorum interfecit:" ita enim exhibent libri aliquot, pro intercepit. forte ex isto loco Æschinis. MARKLAND. Mihi videtur locus hic sic leg. καὶ ὁ περὶ τῆς εἰκόνος ἦν ἀγὼν, τότε ἔτεσιν ἐντὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου. et certamen super statua (Iphicrati danda, an neganda) oriebatur, eo tempore, quo Lysias jam septem ante annis vita defunctus fuisset, quam illud de statua ei decernenda decretum majestatis accusaretur. πῶς οὖν συντάξαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει. Qui ergo composuerit Lysias in gratiam Iphicratis hanc concertationem? id est, orationem forensem. συντάξαι h. l. est optativus. Defensio Iphicratis paulo post commemorata, non ad hanc statuæ causam pertinet, sed ad aliam majestatis vel perduellionis, quæ vigesimo anno post dicta est. REISK.

Ἐλπινίκην] Archon post Agathoclem Olymp. CVI, 1. juxta alios, atque adeo ipsum Dion. in Dinarch. fuit Ἐλπίνης. Atque ita habet Cant. in hoc loco. TAYLOR. De confusione hujus nominis v. Meurs. de Archontibus 4. 7. Locus in Dinarcho est p. 115. 45. ed. Sylburg. qui ad h. l. probat Ἐλπινίκης. MATTH.

Ὅτι μὲν οὖν εἰσὶ λόγοι] Fortasse ὅτου μὲν οὖν εἰσὶ λόγοι. Ut Athen. l. 3. Ὅτου μέν ἐστι τὰ ποιήματα, ὃ ἀγαθὸς Ἀπελλῆς, ἡμῶν ἐστὶ κρίνειν. TAYLOR. Delendum videtur τοῦ, nisi accipiendum sit pro τινός, ullius rhetoris: ut apud Xenophontem Ἀπομν. lib. II. p. 758. προσιλλόντα τῷ τῶν πλείονα χρήματα κεκτημένων, id est, τινί: et in Agesilao p. 866. B. εἰ μὴ τοῦ ἄλλου ἕνεκα· si non ob ullam aliam causam. et Thucydidem I. 106. εἰσέπεσεν ἐς τοῦ χωρίου ἰδιώτου, cujusdam hominis privati. Quin et legendum ὁ περί τε τῆς εἰκόνος, cum articulo, ut supra, ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος. MARKLAND. Legendum videtur: ὅτι μὲν οὖν οὐκ εἰσὶν οἱ λόγοι τοῦ ῥήτορος, τοῦτ' οὐκ ἂν ἔγωγε ἀκήσαιμι διϊσχυρίζεσθαι. ὅτου δ' εἰσὶν οἱ λόγοι οὗτοι ῥήτορος, ὅ τε περὶ τῆς εἰκόνος, καὶ ὁ περὶ τῆς προδοσίας, οὐκέτ' ἔχω βεβαίως εἰπεῖν. orationes hasce nostri oratoris haud esse, hoc equidem ausim contendere. Cujus autem sint hæ duæ orationes, altera de statua, altera super proditione, id jam non amplius habeo pro certo dicere. REISK.

παρόντι σκοπεῖν· εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτούς· καὶ γὰρ τὸ πολέμια δεινὸς ὁ ἀνὴρ, καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος· ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει, καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν, καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων. Ἀνιτέον δὲ ὅθεν ἐξέβημεν εἰς ταῦτα. τὸ κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ τὸ χαρακτηριστικώτατον τῆς δυνάμεως, ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις· ἣν οὔθ' ὑπερεβάλετο τῶν ἐπιγενομένων οὐθείς, οὔτε εἰς ἄκρον ἐμιμήσατο.

ιά. Καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος ταῦτα —συγκεφαλαιώσομαι γὰρ τὰ ῥηθέντα— τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου, τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα ἡ σαφήνεια, ἡ συντομία, τὸ συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα, τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα, τὸ μηδὲν ἄψυχον ὑποτίθεσθαι πρόσωπον μηδὲ ἀνηθοποίητον, ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ μιμουμένη τὸν ἰδιώτην, τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους, ἡ πιθανότης καὶ ἡ χάρις, καὶ ὁ πάντα μετρῶν καιρός. ταῦτα παρὰ Λυσίου λαμβάνων ἄν τις ὠφεληθείη.

lxxi ιβ'. Ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς οὐκ ἔστιν ἡ Λυσίου λέξις, οὐδὲ καταπληκτικὴ μὰ Δία καὶ θαυμαστὴ, οὐδὲ τὸ πικρὸν ἢ τὸ δεινὸν ἢ τὸ φοβερὸν ἐπιφαίνουσα, οὐδὲ ἁφὰς ἔχει καὶ τόνους ἰσχυροὺς, οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστή· οὔθ', ὥσπερ ἐν τοῖς ἤθεσίν ἐστι πιθανὴ, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρά· οὐδ', ὡς ἡδῦναι καὶ πεῖσαι καὶ χαριεντίσασθαι δύναται, οὕτω βιάσασθαί τε καὶ παραναγκάσαι· ἀσφαλής τε μᾶλλόν ἐστιν ἢ παρακεκινδυνευμένη, καὶ οὐκ ἐπὶ τοσοῦτον ἰσχὺν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀληθειαν εἰκάσαι φύσεως.

ιγ'. Καὶ θαυμάζειν ἄξιον, τί δήποτε παθὼν ὁ Θεόφραστος, τῶν φορτικῶν καὶ περιέργων αὐτὸν οἴεται ζηλωτὴν γενέσθαι λόγων,

Εἶναι αὐτοὺς] Lego *αὐτοῦ*. *conjicio autem eas esse ipsius Iphicratis.* sic *αὐτοῦ Λυσίου παραδείγματα*, infra. MARKLAND.

Ἐστι] Deesse videtur *οὖν* ante *ἐστι*: concludit enim locum de *χάριτι* Lysiana. et pro *ἔργων* supra monui scribendum videri *ἀρετῶν*. IDEM.

Ἀνθίζουσα] Quære, an simplex hoc verbum sic reperiatur usurpatum, an melius convenint *ἐκανθίζουσα*. Si est, significabit *colorans, pingens.* REISK.

Ἡ ἀκρίβεια τῆς διαλέκτου] Vide num hoc de capite actum sit in superioribus. IDEM.

Ἄτοπον ὑποτιθ.] Ἄτοπον πρόσωπον potest esse rei locoque male conveniens, aliena persona. Interim quia codices in ἄψυχον conspirant, hoc prætuli. IDEM.

Πιθανότης] Post πιθανότης addit Cantabr. *καὶ τὸ πιστικόν.* quod nescio an minus sit contemnendum. v. dicta ad p. 69. Etiam p. 78. v. 30. *τὸ πιθανὸν* et *τὸν πίστιν* conjungit. IDEM.

Δύναται] Miror, cur Taylor Sylburgii conjecturam *δυνατὸ* probet, cum vulgata nihilo sit deterior. IDEM.

Καὶ θαυμάζειν] Repete ultimam syllabam vocis præcedentis: *ὡς καὶ θαυμάζειν ἄξιον, adeo ut mirum sit.* sic modo ante,

καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς περὶ λέξεως γραφεῖσι, τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων, καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖ· καὶ τὸν ὑπὲρ Νικίου τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν ἐπὶ Συρακουσίων αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος, παρατιθείς. κωλύσει δ' οὐδὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τοῦ Θεοφράστου· ἔστι δὲ ἥδε. "Ἀντίθεσις δ' ἐστὶ τριττῶς· ὅταν τῷ αὐτῷ τὰ ἐναντία, ἢ τῷ ἐναντίῳ τὰ αὐτά, ἢ τοῖς ἐναντίοις ἐναντία προκατηγορηθείη. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευχθῆναι. τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅμοιον, παιδιῶδες, καθάπερεὶ ποίημα. διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ. φαίνεται γὰρ ἀπρεπὲς, σπουδάζοντα τοῖς πράγμασι, τοῖς ὀνόμασι παίζειν, καὶ τὸ πάθος τῇ λέξει περιαιρεῖν. ἐκλύει γὰρ τὸν ἀκροατήν. οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν, Κλαίω τὸν ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον, ἱκέται μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρκων ἡμᾶς ἀποφαίνοντες, ἀνακαλοῦντες συγγένειαν, εὐμένειαν." Ταῦτα γὰρ εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, δικαίως ἂν ἐπιτιμήσεως ἀξιοῖτο, χαριεντιζόμενος ἐν οὐ χαρίεντι καιρῷ· εἰ δὲ ἑτέρου τινὸς ἐστὶν ὁ λόγος — ὥςπερ ἐστὶν —, ὁ κατηγορῶν ἃ μὴ προσῆκε, τοῦ ἀνδρὸς μεμπτότερος. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον, οὐδ' ἐστὶν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος, οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λόγῳ. ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συνταττόμενος, ἐν ᾗ τά τε lxxii ἄλλα δηλωθήσεταί μοι, καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τοῦδε ἀποδοῦναι πειράσομαι τοῦ λόγου.

ιδ'. Νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ πραγματικός ἐστι

ων omittebatur propter præcedens ων. MARKLAND.

Ἐν τούτοις] Potius forte, ἐν τούτοις καταριθμεῖται, τὸν — λόγον — παρατιθείς. Alibi hoc verbo utitur eadem forma. Nisi malis, καταριθμεῖ, καὶ — παρατίθησι. IDEM.

Ἐπὶ Συρακουσίων] Pro coram, vel ἔτι. SYLBURG. Ego puto ἐπὶ Συρακουσῶν. TAYLOR.

Ἐναντία] Scribe τὰ ἐναντία, cum articulo: ut in præcedentibus. MARKLAND.

Προκατηγορηθείη] Vel προσκατηγορηθῆ. SYLBURG.

Παίγμα] An παῖγμα vel παίγνια? paulo infra, τοῖς ὀνόμασι παίζειν. Xenophon. Epist. ad Æschinem, p. 1000. μετ' ὀφρύος σοφιστῶν παίγνια διεξιόντων. MARKLAND.

Οἷον ὡς] Illud οἷον ὡς infra quoque sic usurpatum et apud Aristot. in Rhetor. SYLBURG.

Τὸν ἀμάχητον] ἀμάχητος ὄλεθρος est, cum milites pereunt, negata dimicandi facultate. pari modo ἀναυμάχητος ὄλεθρος est, cum classis perit, cui copia negata fuit cum classe hostili confligendi. REISK.

Εὐμένειαν] Lego εὐγένειαν. Idem mendum in Philone Judæo lib. II. de Vit. Mos. pag. 448. Contra Actor. XVII. 11. pro εὐγενέστερον optime legi posset εὐμενέστερον, magis benevoli. Distinctio autem plena poni debet post ἀποφαίνοντες. Tria enim proferuntur exempla. MARKLAND.

Παρόντι λόγῳ] Dedi λόγῳ pro vulgari λόγιν. REISK.

Συνταττόμενος] Vel συνταξόμενος, compositurus. sequitur enim δηλωθήσεται, et πει-

Λυσίου χαρακτὴρ, ἐπειδὴ τὸν ὑπὲρ τῆς λέξεως ἀποδέδωκα. τοῦτο γὰρ ἔτι λείπεται τὸ μέρος. εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν ἐνόντων λόγων ὁ ἀνὴρ, οὐ μόνον ὧν ἅπαντες εὔρουμεν, ἀλλὰ καὶ ὧν μηθεὶς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας παραλείπει τῶν στοιχείων, ἐξ ὧν ὁμολογεῖ, οὐ τὰ πρόσωπα, οὐ τὰ πράγματα, οὐκ αὐτὰς τὰς πράξεις, οὐ τρόπους καὶ αἰτίας αὐτῶν. οὐ καιρούς, οὐ χρόνους, οὐ τόπους, οὐ τὰς ἑκάστου τούτων διαφορὰς, ἄρχι τῆς εἰς ἐλάχιστον τομῆς, ἀλλ' ἐξ ἁπάσης θεωρίας καὶ παντὸς μερισμοῦ τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν δεινότητα τῆς εὑρέσεως αὐτοῦ οἵ τε ἀμάρτυροι τῶν λόγων, καὶ οἱ περὶ τὰς παραδύξους συνταχθέντες ὑποθέσεις, ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει, καὶ τὰ πάνυ δοκοῦντα τοῖς ἄλλοις ἄπορα εἶναι καὶ ἀδύνατα, εὔπορα καὶ δυνατὰ φαίνεσθαι ποιεῖ· κριτικὸς ὧν δεῖ λέγειν, καὶ ὅτε μὴ πᾶσιν ἐξὴν χρῆσθαι τοῖς εὑρεθεῖσι, τῶν κρατίστων δὲ καὶ κυριωτάτων ἐκλεκτικὸς, εἰ μὴ καὶ μάλιστα, τῶν γ' ἄλλων ῥητόρων οὐδενὸς ἧττον, τάξει δὲ ἁπλῇ τινὶ κέχρηται τῶν πραγμάτων, καὶ τὰ πολλὰ ὁμοειδεῖ. καὶ περὶ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις καὶ ἀπερίεργός ἐστιν. οὔτε γὰρ προκατασκευαῖς, οὔτ' ἐφύδοις, οὔτε μερισμοῖς, οὔτε ποικιλίαις σχημάτων, οὔτε ταῖς ἄλλαις τοιαύταις πανουργίαις εὑρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπέριττός τις καὶ ἐλεύθερος, καὶ ἀπόνηρος οἰκονομῆσαι τὰ εὑρεθέντα. ἐκ δὲ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν, τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων καὶ τὴν σύγκρισιν ζηλοῦν, τὴν δὲ τάξιν καὶ τὴν ἐργασίαν αὐτῶν ἐνδεεστέραν οὖσαν τοῦ προσήκοντος, μὴ ἀπὸ τοῦδε τοῦ ἀνδρὸς, ἀλλὰ παρ' ἑτέρων, οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἐγένοντο—περὶ ὧν ὕστερον ἐρῶ—, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

ιέ. Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους τῶν ἀμφισβητημάτων, ἐν οἷς ἐστὶ θεωρήμασιν ἡ πολιτικὴ τέχνη. τριχῇ δὲ νενεμημένου τοῦ ῥη-

ῥήσομαι, in futuro. MARKLAND.

Ὁμολογεῖ] Conjeceram ὀφελεῖ. sed verius puto Librarium in exscribendo omisisse unam lineam: ἐξ ὧν ὁμολογεῖται *** οὐ τὰ πρόσωπα, etc. *ex quibus inter omnes consentitur* utilitatis aliquid educi posse: *non personas*, etc. IDEM. Apte cohærent omnia. Dicit h. l. de locis, e quibus argumenta petuntur. Perspicuitatis causa locus sic potest intelligi: ἐξ ὧν ὁμολογεῖ τὰ πράγματα τοῖς λόγοις, καὶ ἐξ ὧν ὁμολογία γίνεται ὧν. id est, e quibus oritur assensus, persuasio, fides. MATTH. Mihi non liquet. hoc cerno, sententiam postulare, ἐξ ὧν ὁμολογία γίγνεται vel συμβαίνει. *unde confessio existit.* REISK.

Τὰ πάνυ] Sic dedi, pro τὰ πάντα vulgari. Illud prius etiam Taylor probavit. IDEM.

Κριτικὸς ὧν] Videtur ἂν interponendum. IDEM.

Κρατίστων δὲ] Prætuli vulgari πρατίστων τε. IDEM.

Τῶν ἄλλων] Interposui γ' de meo, et ἧττον pro vulgari ἤττων. etiamsi non præcipue, attamen profecto nil minus, quam ullus alius orator. IDEM.

Ἀρετῶν] An ἀφορμῶν pro ἀρετῶν? paullo enim ante de his duobus egerat: οὐδὲν παραλείπει τῶν στοιχείων et mox, ἐξ ἁπάσης θεωρίας, καὶ παντὸς μερισμοῦ, τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. Certe non apte conjungi videntur hæc vocabula hoc in loco. MARKLAND.

πρακτοῦ λόγου, καὶ τρία περιειλημμένα γένη, τό τε δικανικὸν καὶ τὸ συμβουλευτικὸν, καὶ τὸ καλούμενον ἐπιδεικτικὸν ἢ πανηγυρικόν, ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος, μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι· κἂν τούτοις δὲ αὐτοῖς ἀμείνων ἐστὶ τὰ μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος δὴ τὴν Λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν, ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων, ἢ ἐκ τῶν πανηγυρικῶν τε καὶ συμβουλευτικῶν, σκοπείτω.

ιε'. Ἵνα δὲ καὶ περὶ τῶν ἰδεῶν ἐγγένηταί μοι τὰ προσήκοντα lxxiii
εἰπεῖν, ἐάσω μὲν ταῦτα· περὶ δὲ προοιμίου, καὶ διηγήσεων, καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου διαλέξομαι καὶ δηλώσω, ποῖός τις ἐστὶν ἐν ἑκάστῳ τῶν ἰδεῶν ὁ ἀνήρ· διαιρήσομαι δὲ αὐτὰς, ὡς Ἰσοκράτει τε καὶ τοῖς κατ' ἐκεῖνον τὸν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.

ις'. Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων καὶ χαριέστατον· ἐννοούμενος, ὅτι ἄρξασθαι μὲν καλῶς οὐ ῥᾴδιόν ἐστιν, εἰ γέ τις τῇ προσηκούσῃ χρῆσθαι βούλοιτο ἀρχῇ, καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν. οὐ γὰρ τὸ πρῶτον ῥηθὲν, ἀλλ' ὃ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον, ἢ ἐπ' αὐτοῦ ὠφελήσειε, τοῦτο ἀρχή τε καὶ προοίμιον. ὁρῶ δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον, οἷς αἱ τέχναι τε παραγγέλλουσι, καὶ τὰ πράγματα βούλεται· τοτὲ μὲν γὰρ, ἀπὸ τοῦ ἰδίου ἐπαίνου ὁ λέγων αὐτὸς ἄρχεται, τοτὲ δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου—εἰ δὲ τύχοι αὐτὸς προδιαβληθεὶς, τὰς αἰτίας πρῶτον ἀπολύεται τὰς καθ' ἑαυτοῦ—· τοτὲ δὲ, τοὺς δικαστὰς ἐπαινῶν καὶ θεραπεύων, οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθίστησι· τοτὲ δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν καὶ τὴν πλεονεξίαν τὴν τοῦ ἀντιδίκου, καὶ τὸ μὴ περὶ τῶν ἴσων ἀμφοτέρους εἶναι τὸν ἀγῶνα ἀποδείκνυσι· τοτὲ δὲ, ὡς κοινὰ τὰ πράγματα καὶ ἀναγκαῖα πᾶσι καὶ οὐκ ἄξια ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι λέγει· τοτὲ δὲ, ἄλλο τι κατασκευάζεται τῶν δυναμένων αὐτὸν μὲν ὠφελῆσαι, τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις καὶ ἐνθυμή-

Τρία] Notabilis est lectio Cant. καὶ τρία περιειλημένα διάφορα τοῖς τίλοσι γένη. Sed non solummodo *tres* differunt, ut pluribus videre est Aristot. Rhetoric. 1. TAYLOR.

Τούτοις δὲ] Dedi pro vulgari τούτοις τε secundum Sylburgii mentem. REISK.

Ἔσω μᾶλλον] Dedi ad mentem Taylori pro vulgari ἔστω τε. IDEM.

Εἰ μή τις] Sensus postulat contrarium. Fort. scribendum εἰ δή τις, aut εἰ μή τις τῇ προστυχούσῃ. MATTH.

Εἰ μή τις τῇ προσηκούσῃ] Dedi de meo εἰ γέ τις τῇ προσηκούσῃ. REISK.

Ἐπ' αὐτοῦ] Aut ἐπ' ἀρχῆς αὐτοῦ, aut ἐπὶ deleto retinendum αὐτοῦ sensu adverbiali. Veniebat etiam in mentem sic legere: οὐ γὰρ τὸ πρῶτον ῥηθὲν, ἀλλ' ὅ,τι πρωτεθὲν τοῦ λόγου κ. τ. λ. de quo tamen nihil audeo affirmare, cum lectio vulgata sensum habeat commodum. MATTH. Mihi videtur legendum: ἐπ' αὐτοῦ ἀρχομένου ὠφελήσειε. REISK.

Αἱ τέχναι] Articulum addidi auctore Sylburg. IDEM.

Ἐμαυτοῦ ὁ λέγων αὐτὸς ἄρχεται] Sic dedi, partim auctoritate mea, partim Marklandi, cui debetur αὐτὸς pro vulgari αὐτὸ, articu-

μασι μεριοις περιλαβων, ἐπὶ τὴν πρόθεσιν ἐπάγεται· δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι προειπὼν, καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ πρὸς τὸν μέλλοντα λόγον, ἐπὶ τὴν διήγησιν καθίσταται· καὶ ἔστι μεθόριον αὐτῷ ἑκατέρας τῶν ἰδεῶν ὡς τὰ πολλὰ ἡ πρόθεσις. ἤδη δέ ποτε καὶ ἀπὸ μόνης ταύτης ἤρξατο, καὶ ἀπροοιμίαστός ποτε εἰσέβαλε, τὴν διήγησιν ἀρχὴν λαβὼν, καὶ οὐκ ἄψυχος οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην τὴν ἰδέαν. μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς, ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους, ἐν οὐδενὶ πέφηνεν, οὔτε ἀπιθάνως προοιμιαζόμενος, οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος, ἀλλ' οὐδὲ τοῖς ἐνθυμήμασιν ἐπιβέβληκε τοῖς αὐτοῖς· οὐδ' ἐπὶ τὰς αὐτὰς κατενήνεκται διανοίας. καίτοι γε τοῦτο καὶ οἱ τοὺς ὀλίγους γράψαντες εὑρίσκονται πεπονθότες· λέγω δὲ τὸ τοῖς αὐτοῖς ἐπιβάλλειν τόποις. ἐὼ γὰρ, ὅτι καὶ τὰ παρ' ἑτέροις εἰρημένα λαμβάνοντες ὀλίγου δεῖν πάντες, οὐκ ἐν αἰσχύνῃ τίθενται τὸ ἔργον. οὗτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων· κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια· καὶ δυνατὸς ὃ βούλοιτο διαπράξασθαι. οὔτε γὰρ εὔνοιαν κινῆσαι βουλόμενος, οὔτε προσοχὴν, οὔτε εὐμάθειαν, ἀτυχήσειέ ποτε
lxxiv τοῦ σκοποῦ. κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν ἢ πρῶτον, ἢ οὐδενὸς δεύτερον αὐτὸν ἀποφαίνομαι.

ιή. Ἐν δὲ τῷ διηγεῖσθαι τὰ πράγματα — ὅπερ οἶμαι μέρος πλείστης δεῖται φροντίδος καὶ φυλακῆς — ἀναμφιβόλως ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων, ὅρον τε καὶ κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι· οἶμαί τε καὶ τὰς τέχνας τῶν λόγων, ἐν οἷς εἴρηται περὶ διηγήσεως ἀξιολόγου, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον, ἢ τῶν ὑπὸ Δυσίου γραφεισῶν, εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς. καὶ γὰρ τὸ σύντομον μάλιστα αὗται ἔχουσιν αἱ διηγήσεις, καὶ τὸ σαφές· ἡδεῖαί τέ εἰσιν ὡς οὐχ ἕτεραι, καὶ πιθαναὶ καὶ τὴν πίστιν ἅμα λεληθότως συνεπιφέρουσιν, ὥστε [μὴ ῥᾴδιον εἶναι μήθ' ὅλην διήγησιν μηδεμίαν μήτε μέρος αὐτῆς ψευδὲς ἢ ἀπίθανον εὑρεθῆναι· τοσαύτην ἔχει πειθὼ καὶ ἀφροδίτην τὰ λεγόμενα, καὶ οὕτω λανθάνει τοὺς ἀκούοντας, εἴτ' ἀληθῆ ὄντα, εἴτε πεπλασμένα. καὶ ὅπερ Ὅμηρος, ἐπαινῶν τὸν Ὀδυσσέα ὡς πιθα-

lam ἐ autem ego de meo addidi. IDEM.

Αὐτῷ δύναμιν] Delendum videtur αὐτῷ in secundo loco; nisi in priori legendum: τις αὐτὸ θαυμάσειε, τὸν etc. ut ultima exegetica sint. Par repetitio infra: ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος· ἴν γε τῷ πιστοῦσθαι τὸν ἄνδρα τὰ πράγματα τοιοῦτός τις ὁ ἀνὴρ ἐστιν. ubi ultimum τὸν ἄνδρα, conjectis oculis in versum præcedentem, videtur repetisse Librarius: omnino enim superfluum est, et sensum turbat. MARKLAND. Nisi pro secundo αὐτῷ leg. sit αὐτοῖς. in ipsis præloquiis. REISK.

Οὗτοσὶ δὲ] Distingue: οὗτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων (κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια), καὶ δυνατὸς ὃ βούλοιτο διαπράξασθαι. hic vero orator novus est in singulis orationibus, (in Exordiis saltem et Proœmiis) et potens quodcunque velit efficere. MARKLAND.

Οὐδενὸς δεύτερον] Interponendum videtur γε. REISK.

νὸν εἰπεῖν καὶ πλάσασθαι τὰ μὴ γενόμενα ἔρηκε, τοῦτό μοι δοκεῖ κἂν ἐπὶ Λυσίου εἰπεῖν.

ιϑ'. Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὅμοια. Πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος αὐτοῦ Λυσίου, παραδείγματα ποιούμενος τὰς γυμνασίας. κράτιστα γὰρ ἐπεδείξατο ταύτην τὴν ἰδέαν ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος.

κ'. Ἐν δὲ τῷ πιστοῦσθαι τὰ πράγματα τοιοῦτός τις ὁ ἀνὴρ ἐστιν. ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐντέχνων πίστεων· καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῇ δὲ νενεμημένων τούτων, εἴς τε τὸ πρᾶγμα καὶ τὸ πάθος καὶ τὸ ἦθος, τὰ μὲν ἐκ τοῦ πράγματος, οὐδενὸς χεῖρον εὑρεῖν τε καὶ ἐξειπεῖν δύναται Λυσίας. καὶ γὰρ τοῦ εἰκότος ἀνὴρ ἄριστος εἰκαστὴς, καὶ τοῦ παραδείγματος, πῇ τε ὅμοιον εἶναι πέφυκε καὶ πῇ διαφέρον, ἀκριβέστατος κριτής· τά τε σημεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι, καὶ εἰς τεκμηρίων δόξαν ἀγαγεῖν δυνατώτατος, καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοιγε δοκεῖ. πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως, πολλάκις δ' ἐκ τῶν προτέρων πράξεων καὶ προαιρέσεων ἀξιόπιστα ποιεῖ τὰ ἤθη. ὅταν

Δοκεῖ] Malim δοκῶ in prima persona. *videor mihi idem posse dicere etiam de Lysia.* aut cum MSS. nescio quibus leg. τις εἰκεῖν. IDEM.

Πᾶσί τε] Sylburg. ita: τὸ μέρος αὐτοῦ, Λυσίου παραδείγματα ποιουμένους τὰς γυμνασίας. TAYLOR. Totum locum ita lego et distinguo: Πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος, αὐτοῦ Λυσίου παραδείγματα ποιουμένους τὰς γυμνασίας· *omnibusque, et imprimis, hanc partem exercere suaderem, ipsius Lysiæ exempla facientibus exercitationes suas*: id est, non aliunde, quam ex Lysia, petentibus exempla in exercitationes suas. Scio verba aliter construi posse, scil. Λυσίου τὰς γυμνασίας. sed sensus eodem fere recidet. MARKLAND. Fortasse: τὰ τοῦ Λυσίου παραδείγματα ποιούμενος τῆς γυμνασίας. Locus similis est pag. 62. 15. καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθαρῶς γράφειν ὑ λέγειν, ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι παράδειγμα ταύτης τῆς ἀρετῆς. MATTH. Post versum Homeri sic videtur leg. δι' ὃ πάσῃ τέχνῃ καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος, φησὶ αὐτοῦ Λυσίου τὰ παραδείγματα ποιουμένους τὰς γυμνασίας. REISK.

Ἐν γε] F. ἐν δὲ, ut supra, ἐν δὲ τῷ διηγεῖσθαι. Mox dele τὸν ἄνδρα. *Sylburg.* TAYLOR.

Πιστοῦσθαι] Post πιστοῦσθαι addunt vulgatæ τὸν ἄνδρα, quæ duo vocabula delevi auctoribus Sylburgio et Marklando.

Τριχῇ δὲ] Vid. Aristotel. Rhet. 1. 2. 5, 6. MATTH.

Ἀνὴρ δικαστὴς] Sylburgius conjicit, ἄριστος δικαστὴς, ut ἀκριβέστατος κριτὴς paulo post. Forte: καὶ γὰρ τοῦ τε εἰκότος ἄριστος εἰκαστὴς, καὶ τοῦ etc. *etenim et verosimilitudinis optimus est conjector, etc.* etc. allusum enim videtur isti Thucydidis lib. 1. de Themistocle: τοῦ γενησομένου ἄριστος εἰκαστής; quem locum citat Dionysius lib. de Thucyd. Idiomatibus. Euripides:

Μάντις ἄριστος ὅστις εἰκάζει καλῶς.

MARKLAND. Legendum videtur εἰκαστής. quod proprie dicitur in hac re. Librarius deceptus videtur a v. κριτής. Ita alibi Dionysius, ed. Sylb. p. 98. 37. ἀληθείας εἰκαστὴς et p. 136. 33. e Thucydide ἄριστος εἰκαστής. MATTH. Ego nullus dubitavi pro vulgari lectione δικαστὴς dare ἄριστος εἰκαστής. REISK.

Τεκμήριον] Antea conjiciebam τεκμηρίων. nunc confirmatus auctoritate codicis Helmstad. plane, quin ita sit scribendum non dubito. Sensus est apertus. Lysias τὰ σημεῖα ita callide tractare potest, ut τεκμηρίων vim consequantur. quomodo autem σημεῖα, τεκμήρια, εἰκὸς et παράδειγμα differant, diligenter explicat Aristoteles, e quo totum hunc locum excerpsisse videtur Dionysius. v. Rhetor. I. 2. 38. seqq. et II. 25. 9. seqq. MATTH.

Ἠθῶν γε] Γε aut cum δὲ mutandum videtur, aut sic leg. ἠθῶν τε καὶ παθῶν πίστεις.

δὲ μηδεμίαν ἀφορμὴν παρὰ τῶν πραγμάτων τοιαύτην λάβῃ, αὐτὸς ἡδοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λόγῳ πιστὰ καὶ χρηστά, προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεῖς, καὶ πάθη μέτρια προσάπτων καὶ λόγους ἐπιεικεῖς ἀποδιδούς· καὶ ταῖς τύχαις ἀκόλουθα φρονοῦντας εἰσάγων, καὶ ἐπὶ μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λόγοις καὶ ἔργοις, τὰ δὲ δίκαια προαιρουμένους ποιεῖν, καὶ πάντα παραπλήσια τούτοις, ἐξ ὧν ἐπιεικὴς ἂν καὶ μέτριον ἦθος φανείη, κατασκευάζων. περὶ δὲ τὰ πάθη μαλακώτερός ἐστι, καὶ οὔτε αὐξήσεις, οὔτε δεινώσεις, οὔτε οἴκτους, οὔθ' ὅσα τούτοις ἐστὶ παραπλή-
lxxv σια, νεανικῶς πάνυ καὶ ἐρρωμένως κατασκευάσαι δυνατός. οὐ δεῖ δὴ ταῦτα ἐπιζητεῖν παρὰ Δυσίου.

κά. Κἀν τοῖς ἐπιλόγοις δὲ, τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος μετρίως τε καὶ χαριέντως ἀπαριθμεῖ, τὸ δὲ παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ ἔλεος καὶ δέησις καὶ τὰ τούτοις ἀδελφὰ ἔνεστιν, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι.

κβ'. Τοιοῦτος μὲν δή ἐστιν ὁ Λυσίου χαρακτὴρ, ὡς ἐγὼ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα παρὰ ταῦτα ἔγνωκε, λεγέτω. κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ γένηται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπείσμεθα, εἴτε καὶ διημαρτήκαμεν τὴν κρίσιν, τὴν ἐξέτασιν ἀπὸ τῶν ὑπ' ἐκείνου γραφέντων ποιήσομαι προχειρισάμενός τινα λόγον. οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασιν. ἐξ ἐκείνου δὲ τήν τε προαίρεσιν καὶ τὴν δύναμιν τοῦ ἀνδρὸς ἐπιδείξομεν, ἀποχρῆν οἰόμενοι ψυχαῖς εὐπαιδεύτοις καὶ μετρίαις, μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος κατὰ Διογείτονος· ὑπόθεσιν δὲ ἔχων τοιάνδε. Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον, τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητέρος. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀπεθνήσκει· Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς

Ταυτιθεὶς] Fort. περιτιθεὶς. Sic Dionys. ed. Sylb. p. 189. 1. ᾗ [λέξει] πέχρηται Ἡρόδοτος Εἰρξῃ περιτιθεὶς τὸν λόγον. et 85. 18. ὁ γὰρ γάμος εὐθὺς καὶ σωφροσύνης δόξαν περιτίθησι τοῖς ἀνθρώποις. Longin. p. 153. ed. Cel. Mor. τὸν δ' ἀπότομον ἀπειλὴν τῷ θυμῷ τοῦ ἠγεμόνος περιέθηκεν. Diog. Laert. p. 70. ed. Steph. Κρίτων περιθεῖναι τοὺς λόγους. MATTH.

Προσώποις] Sic dedi pro vulgari προσώπων. REISK.

Προαιρουμένους ποιεῖν] Sic dedi de meo pro vulgari προαιρουμένους ποιῶν. IDEM.

Ἀπαιδεύτους] Stephanus et Sylburgius, οἷα ἀπαιδεύτους. minore cum mutatione legas, ψυχαῖς εὐπαιδεύτοις, animis eruditis et modestis. Sic init. Epist. ad Pompeium: ἱστορίαν εὐπαιδευτον· et in Lib. de Thucyd. Idiom. τῶν εὐπαιδεύτων· et alibi. MARKLAND.

τῶν μειρακίων δοκιμασθέντος, κἀκεῖς ἐπιτροπῆς. λέγει δὲ κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς, τῶν δὲ μειρακίων ἀδελφῆς ἀνήρ. προὔλαβον δὲ τὴν ὑπόθεσιν, ἵνα μᾶλλον γένηται καταφανὲς, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται.

κγ'. Εἰ μὲν μὴ μεγάλα, κ. τ. λ. Τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετὰς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν ᾖ πρὸς οἰκείους ὁ ἀγὼν, σκοπεῖν, ὅπως μὴ πονηροὶ μηδὲ φιλοπράγμονες οἱ κατήγοροι φανήσονται· κελεύουσί τε, πρῶτον μὲν τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιϊστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος, καὶ λέγειν, ὅτι μεγάλα τἀδικήματα. καὶ οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν· καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγὼν καὶ ἐρήμων, καὶ ἧττον ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες, κακίους ἂν ἐφάνησαν· καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγὰς, καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες, καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες, οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. Ταῦτα μὲν δὴ παραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν, καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα lxxvi
διὰ τοῦ προοιμίου τοῦδε γεγονότα. Καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι, κελεύουσι συστρέψαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταί· καὶ οἷάπερ ἂν ᾖ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς, καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους, εὐθὺς ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει δὴ καὶ ταῦτα τὸ προοίμιον. Ἔτι περὶ τῆς προσοχῆς ὧδέ πως τεχνολογοῦσιν· ὅτι δεῖ τὸν προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατὰς, καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα, καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται δὲ καὶ ταῦτα πεποιηκὼς ὁ Λυσίας· καὶ προσέτι τούτοις τὸ λεῖον τῆς ἑρμηνείας, καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς, ὧν μάλιστα δεῖ τοῖς ὑπ' ἐκείνων προοιμιαζομένοις. ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται

Εἰ μὲν μὴ μεγάλα] Vid. p. 504. ed. Tayl.

Τῶν τυχεῖν] Legi vult Taylor τῶν τυχόντων. sine causa, si quid intelligo. Reisk.

Μεγάλα ἀδικήματα] Scripsit, opinor, μεγάλα τ' ἀδικήματα, vel τὰ ἀδικήματα. Markland.

Καὶ ὅστι] Forte, ἡ (sc. σύνοδος) ἐστι πρόπυλον τῆς κατασκευῆς μέρος. Idem.

Ἐῶδὲ] Καὶ, quod huic adverbio praponunt vulgatæ, delevi auctore Sylburgio. Reisk.

Τῶν' ἐκείνων] Sylburgius legit, ὑπ' ἐκείνων, *ab illis. A quibus?* nihil enim præcessit, quod huic sensui convenire potest. Lege, ἐν' ἐκείνων, *coram illis*, sc. δικαστῶν, *judicibus, quæ maxime necessaria sunt iis, qui coram tribunali proœmiis utuntur*: nempe in veris causis, non in *fictis* Rhetorum et Sophistarum λογομαχίαις. Markland.

καταμαθεῖν, ἔχει δὲ οὕτως. Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί, κ. τ. λ.

κδ'. Ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν οὖν ἰδίας πίστεις, ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας, δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων, οὐδὲν ἕτερον ἢ τοῦτο εἰπών, Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες. τὰ δὲ τοῦ ἀντιδίκου δίκαια διχῇ νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν, καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξάρνου γενηθέντος εἰληφέναι, κἄπειτα ἐλεγχθέντος, ὑπὲρ ἀμφοτέρων ποιεῖται τὸν λόγον. τάς τε δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων, καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδεδεώς. Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, κ. τ. λ.

κε. Ἐν μὲν δὴ τοῖς ἐπιδεικτικοῖς λόγοις μαλακώτερος, ὥσπερ ἔφην. βούλεται μὲν γὰρ ὑψηλότερος εἶναι καὶ μεγαλοπρεπέστερος. καὶ τῶν γε καθ' ἑαυτὸν ἢ πρότερον ῥητόρων ἁπάντων οὐδενὸς ἂν δόξειεν εἶναι καταδεέστερος· οὐ διεγείρει δὲ τὸν ἀκροατήν, ὥσπερ Ἰσοκράτης, ἢ Δημοσθένης. θήσω δὲ καὶ τούτων παράδειγμα. ἔστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει τοὺς Ἕλληνας, ἀγομένης Ὀλυμπιάσι τῆς πανηγύρεως, ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς, καὶ Σικελίαν ἐλευθερῶσαι· ἄρξασθαί τε τῆς ἐχθρᾶς αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος ἄγοντας θυσίαν τῷ Διΐ· μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελής, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος.

Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί] Vid. p. 505. ed. Tayl.

Τοῦ ἀντιδίκου] Articulum præposui, quo carent vulgatæ. REISK.

Τὰς δὲ δαπάνας] Distinguo ac lego: ποιεῖται τὸν λόγον, τάς τε δαπάνας — ἐλέγχων, καὶ περὶ etc. Sylburgius quoque legit τε pro δέ. MARKLAND. Sic dedi, pro vulgari τάς δὲ δαπάνας. REISK.

Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί] Vid. p. 512. ed. Tayl.

Ἔφην] Post ἔφην nonnulla deesse videntur. hæc enim non cohærent. MARKLAND. Acute animadvertit Marklandus aliquid hic deesse. Nam ἐν μὲν δὴ indicat conclusionem loci pertractati περὶ τῶν ἀποδείξεων, de quibus inceperat dicere. Τοῖς ἐπιδεικτικοῖς autem et paulo post θήσω δὲ καὶ τούτων transitionis ad orationes ἐπιδεικτικὰς vestigia habent. Deinde Dionysius Lysiam μαλακώτερον dixit non tam in ἐπιδεικτικοῖς λόγοις, quam in πάθεσιν et ἀποδείξεσιν. v. p. 80. v. 8. Conf. Dionys. ed. Sylburg. p. 107. 43. ἐν οἷς (ἀποδεικτικοῖς καὶ παθητικοῖς λόγοις) ὁ μὲν Λυσίας ἁπλούστερός τίς ἐστιν, et p. 109. 34. ubi etiam male scribitur ἐπιδεικτικοῖς pro ἀποδ. quod aperte docet orationis συλλογία et Sylburg. ad h. l. Denique nullum exemplum epilogi commemoravit, de quo tamen etiam dicere constituerat. v. p. 77. v. 10. p. 80. v. 12. 18. Ex his satis puto apparere aliquid deesse. quod etsi sine ope codd. restitui vix potest, interim tamen expleri poterit hoc modo: ἐν μὲν δὴ τοῖς ἀποδείξεσι καὶ πάθεσι καὶ ὅλως τοῖς δικανικοῖς λόγοις μαλακώτερος, ὥσπερ ἔφην. Τοιοῦτος δέ τίς μοι εἶναι δοκεῖ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις. βούλεται — Δημοσθένης. θήσω δὲ καὶ τούτων (scil. τῶν ἐπιδεικτικῶν λόγων) παραδείγματα. MATTH. Nil deest, modo legas, ἐν μέντοι τοῖς. REISK.

ταύτην λαβὼν τὴν ὑπόθεσιν, τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου. Ἄλλων τε πολλῶν καὶ καλῶν, κ. τ. λ. lxxvii

κς'. Ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ· ἵνα καὶ τούτου τοῦ γένους τοῦ λόγου ὁ χαρακτὴρ γένηται σαφής. ὑπόθεσιν δὲ περιείληφε περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι. τοῦ γὰρ δήμου κατελθόντος ἐκ Πειραιῶς, καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει, καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν· δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου, γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς τὴν γῆν ἔχουσι παραδοῦναι· βουλομένων ταῦτα γεγέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δὲ, τοῦ ψηφίσματος τούτου κυρωθέντος, πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν οἰκιῶν. ἵνα δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας, τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐρρήθη τότε ἄδηλον, σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε. Ὅτε ἐνόμιζον, ὦ Ἀθηναῖοι, κ. τ. λ.

κζ'. Ἀλλ' ἅλις ἤδη παραδειγμάτων. ἵνα καὶ περὶ τῶν λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἕπεται δὲ τῷ ῥήτορι τούτῳ, κατὰ τὴν τάξιν τῶν χρόνων, Ἰσοκράτης. περὶ δὲ τούτου λεκτέον ἐφεξῆς, ἑτέραν ἀρχὴν λαβοῦσιν.

Ἄλλων τε πολλῶν καὶ καλῶν] Vid. p. 518. ed. Tayl.

Ψηφισμάτων διαλύσασθαι] Hudsonus legi vult τὰς πρὸς τοὺς ἐν ἄστει ἔχθρας. male, ut videtur. centies enim hæc omittuntur. v. Æschin. contra Ctesiph. p. 68. 19. ed. Steph. Ælian. V. H. 12. 3. Theophrast. Charact. 13. περὶ ἀπαιρίας. ἀμφοτέρων βουλομένων διαλύσασθαι. Matth.

Φορμίσιος] De hoc loquitur Dinarchus p. 95. ed. Steph. Idem.

Φεύγοντας] F. φυγόντας. Idem. In hoc falsus fuit V. D. Exsules, οἱ φεύγοντες usurpantur, non οἱ φυγόντες. Ad insequentem vitam e Plutarcho annotationum ego de meo nihil addidi, sed omnes sunt Taylori. Reisk.

Ὅτε ἐνόμιζον, ὦ Ἀθηναῖοι] Vid. p. 523. ed. Tayl.

ΛΥΣΙΟΥ ΒΙΟΣ

ΚΑΤΑ ΠΛΟΥΤΑΡΧΟΝ.

lxxviii Λυσίας υἱὸς ἦν Κεφάλου, τοῦ Λυσανίου, τοῦ Κεφάλου, Συρακουσίου μὲν γένος, μεταναστάντος δὲ εἰς Ἀθήνας, ἐπιθυμίᾳ τε τῆς πόλεως, καὶ Περικλέους τοῦ Ξανθίππου πείσαντος αὐτὸν φίλον ὄντα, καὶ ξένον, πλούτῳ διαφέρων· ὡς δέ τινες ἐκπεσόντα τῶν Συρακουσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννοῦντο· γενόμενος Ἀθήνησιν ἐπὶ Φιλοκλέους ἄρχοντος τοῦ μετὰ Φρασικλῆ κατὰ τὸ δεύτερον ἔτος τῆς ὀγδοηκοστῆς καὶ δευτέρας Ὀλυμπιάδος, τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις Ἀθηναίων· ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν τὴν ὕστερον Θουρίους μετονομασθεῖσαν ἔστελλεν ἡ πόλις, ᾤχετο σὺν τῷ πρεσβυτάτῳ ἀδελφῷ Πολεμάρχῳ —ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι δύο Εὔδιδος καὶ Βράχυλλος—, τοῦ πατρὸς ἤδη τετελευτηκότος, ὡς κοινωνήσων τοῦ κλήρου, ἔτη γεγονὼς πεντεκαίδεκα, ἐπὶ Πραξιτέλους ἄρχοντος. κἀκεῖ διέμεινε παιδευόμενος παρὰ Τισίᾳ, καὶ Νικίᾳ τοῖς Συρακουσίοις· κτησάμενός τε οἰκίαν καὶ κλήρῳ λαχὼν ἐπολιτεύσατο, ἕως Κλεάρχου τοῦ Ἀθήνησιν ἄρχοντος, ἔτη ἑξήκοντα τρία. Τῷ δὲ ἑξῆς Καλλίᾳ Ὀλυμπιάδι ἐνενηκοστῇ δευτέρᾳ, τῶν κατὰ Σικελίαν συμβάντων Ἀθηναίοις, καὶ κινήσεως γενομένης τῶν τε ἄλλων συμμάχων καὶ μάλιστα τῶν τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς Ἀττικίζειν ἐξέπεσε μετ' ἄλλων τριῶν. Παραγενόμενος δ' Ἀθήνησιν ἐπὶ Καλλίου τοῦ μετὰ Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων τὴν πόλιν, διέτριβεν αὐτόθι. τῆς δὲ ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γενομένης, καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν, ἑπτὰ ἔτη μείνας, ἀφαιρεθεὶς τὴν οὐσίαν, καὶ τὸν ἀδελφὸν Πολέμαρχον· αὐτὸς δὲ διαδρὰς ἐκ τῆς οἰκίας, ἀμφιθύρου οὔσης, ἐν ᾗ ἐφυλάσσετο ὡς ἀπολούμενος, δῦγεν ἐν Μεγάροις. ἐπιθεμέ-

Διαφέρων] Anne διαφέροντα? Vid. Nos in Vita Lysiæ. TAYLOR.

Φρασικλῆ] L. Φρασικλείδη. IDEM.

Καὶ δευτέρας] Dele. IDEM.

Ἔστελλεν] Ἔστελλε Cod. Petav. IDEM.

Ἄλλοι δύο] Hoc videtur esse ambigendum. IDEM.

Εὔδιδος] Εὔθυμος Xyl. Rectius cum Platone Εὐθύδημος. IDEM.

Κλήρου λαχὼν] Κλήρου τυχὼν Photius. IDEM.

Κλεάρχου] L. Κλεισθένους. IDEM.

Ἑξήκοντα τρία] Alii τριάκοντα τρία legunt, alii ὅστε τριάκοντα. IDEM.

Τριῶν] L. Τεσσαράκοντα. IDEM.

νων δὲ τῶν ἀπὸ Φυλῆς τῷ καθόδῳ, ἐπεὶ χρησιμώτατος ἁπάντων ὤφθη, χρήματά τε παρασχὼν δραχμὰς δισχιλίας, καὶ ἀσπίδας διακοσίας· πεμφθεὶς δὲ σὺν Ἑρμᾶνι ἐπικούρους ἐμισθώσατο τριακοσίους δύο, ἔπεισέ τε τάλαντα δοῦναι Θρασύλλαιον τὸν Ἠλεῖον, ξένον αὐτῷ γεγονότα. ἐφ' οἷς γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν· ἀπενεγκαμένου δὲ Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα· lxxix
καὶ οὕτως ἀπελαθεὶς τῆς πολιτείας, τὸν λοιπὸν χρόνον ᾤκησε ἰσοτελὴς ὤν· καὶ ἐτελεύτησεν αὐτόθι, ὀγδοήκοντα τρία ἔτη βιοὺς, ἢ, ὥς τινες, ἓξ καὶ ἑβδομήκοντα, ἢ, ὥς τινες, ὑπὲρ ὀγδοήκοντα· ἰδὼν Δημοσθένην μειράκιον ὄντα. γενηθῆναι δέ φασιν ἐπὶ Φιλοκλέους ἄρχοντος. Φέρονται δ' αὐτοῦ λόγοι τετρακόσιοι εἰκοσιπέντε. τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον, καὶ Καικίλιον εἶναι διακοσίους τριάκοντα, ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται. ἔστι δ' αὐτοῦ καὶ δν ὑπὲρ τοῦ ψηφίσματος ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιέχων, καὶ κατὰ τῶν τριάκοντα ἕτερος. Ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτατος, τοῖς ἰδιώταις τοῖς πολλοῖς λόγους ἐκδούς. εἰσὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι, καὶ δημηγορία, ἐπιστολαί τε καὶ ἐγκώμια, καὶ ἐπιτάφιοι καὶ ἐρωτικοί. Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. δοκεῖ δὲ τὴν κατὰ λέξιν εὔκολος εἶναι, δυσμίμητος ὤν. Δημοσθένης δ' ἐν τῷ κατὰ Νεαίρας λόγῳ ἐραστὴν αὐτόν φησι γεγονέναι Μετανείρας ὁμοδούλου τῇ Νεαίρᾳ. ὕστερον δὲ ἔγημε Βραχύλλου τοῦ ἀδελφοῦ θυγατέρα, μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν τῷ Φαίδρῳ, ὡς δεινοτάτου εἰπεῖν, καὶ Ἰσοκράτους πρεσβυτέρου. ἐποίησε δὲ καὶ εἰς αὐτὸν ἐπίγραμμα Φίλισκος ὁ Ἰσοκράτους μὲν γνώριμος, ἑταῖρος δὲ Λυσίου· δι' οὗ φανερὸν ὡς προέλαβε τοῖς ἔτεσιν, καὶ ἐκ τῶν ὑπὸ Πλάτωνος εἰρημένων ἀποδείκνυται. ἔχει δὲ οὕτως·

Καλλίππης θύγατερ, πολυηγόρε, φροντίδι δείξεις
Εἴ τι φρονεῖς, * * καί τι περισσὸν ἔχεις.

Ἐπὶ χρησιμώτατος] L. ἐπιχρησιμώτατος. IDEM.

Πεμφθεὶς δὲ] Πεμφθεὶς τε Cod. Petav. IDEM.

Δύο] Istud δύο pertinet ad comma proximum. Vid. nos in Lysiæ Vita. IDEM.

Θρασύλαιον] Θρασυδαῖον alii. IDEM.

Ὀγδοήκοντα] Mira hæc differentia, ὀγδοήκοντα τρία ἔτη βιοὺς — ἢ, ὥς τινες, ὑπὲρ ὀγδοήκοντα. Hæccine exspectabas ab ἀκριβεῖ Plutarchi? IDEM.

Ἡττῆσθαι] Ἡττῆσθαι Cod. Petav. IDEM.

Ἔστι δ' αὐτοῦ] F. ἔστι δ' αὐτοῦ καὶ ὑπὲρ τοῦ ψηφίσματος ὃ ἐγράψατο Ἀρχῖνος (sc. παρανόμων) τὴν πολιτείαν αὐτοῦ περιελών. IDEM.

Τοῖς πολλοῖς] Vel glossa est ad τοῖς ἰδιώταις, vel legendum τοὺς πολλοὺς (λόγους sc.) vel τοὺς πλείους, ut Photius. IDEM.

Δημηγορία] F. δημηγορίαι. IDEM.

Σωκράτους] Καὶ Σωκράτους ἀπολογία. Cod. Petav. IDEM.

Δημοσθένης] Hæc ex Athenæo l. 13. IDEM.

Καλλίππης] In MSS. nonnullis δ' Καλλίππης, in metro quarto pro Ἐν κέσμησι Cod. Petav. habet Ἐν κόσμησι. in sexto, idem Cod. καταφθιμένων. IDEM. De hoc Epigrammate vid. supra p. 59.

Τὸν γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντα, καὶ ἄλλως
Ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον,
Δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινὰ Λυσιδάϊμνον,
Δόντα καταφθίμενον καὶ σοφῷ ἀθάνατον·
Ὃς τότ' ἐμῆς ψυχῆς δεῖξαι φιλέταιρον ἅπασι,
Καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

Συνέγραψε δὲ λόγον καὶ Ἰφικράτει τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνων Τιμόθεον, καὶ ἀμφοτέρους ἐνίκα. Ἀναδεξαμένου δὲ Ἰφικράτους τὰς τοῦ Τιμοθέου πράξεις, ταῖς εὐθύναις ἀναλαβὼν τὴν τῆς προδοσίας αἰτίαν ἀπολογεῖται διὰ τοῦ Δυσίου λόγου. καὶ αὐτὸς μὲν ἀπελύθη, ὁ δὲ Τιμόθεος ἐξημιώθη πλείστοις χρήμασιν. ἀνέγνω δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει λόγον μέγιστον, διαλλαγέντας τοὺς Ἕλληνας καταλῦσαι Διονύσιον.

ΛΥΣΙΟΥ ΒΙΟΣ.

EX PHOTIO COD. CCLXI.

lxxx Ἀνεγνώσθησαν Λυσίου λόγοι διάφοροι. φέρονται δ' αὐτοῦ εἰκοσιπέντε καὶ τετρακόσιοι, ὧν τοῖς γνησίοις τρεῖς καὶ τριάκοντα καὶ διακόσιοι ἐγκρίνουσι. ἐν οἷς δὶς μόνον τὸ ἔλαττον ἐνεγκεῖν τῇ λέξει πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος λέγεται. ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος, καὶ τῷ δοκεῖν μὴ δεινῶς λέγειν, εἴπερ τις ἄλλος δεινότατος. ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν, οὐδὲν ἔλαττον δυσμίμητος ἐπιδείκνυται. τοὺς μέντοι γε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαί, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοί, καὶ Σωκράτους ἀπολογία. ἔστι μὲν ἐν οὐκ ὀλίγοις αὐτοῦ λόγοις ἠθικός. γίνεται δὲ κατὰ τὴν διάνοιαν ὁ ἠθικός, ὅταν χρηστὴν ἔχῃ προαίρεσιν, καὶ πρὸς τὰ βελτίω ῥέπουσαν. ὅθεν οὐ χρὴ ψιλῶς τὰ πραχθέντα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην συνάπτειν, μεθ' ἧς ἐπράττετο ἕκαστον. οἷον ἂν μὲν χαλεπὰ εἴῃ, καὶ πρὸς φίλους ἢ ἄλλως μετρίους, τὴν ἀνάγκην αἰτιᾶσθαι, ἂν δὲ ἀμείνω, τὴν προαίρεσιν. αὗται δὲ μάλιστα πιθανὴ γίνεται, εἰ τὴν αἰτίαν προσλάβοι. τὰς μέντοιγε αἰτίας οὐ χρὴ τοῦ λυσιτελοῦς ἕνεκα παραλαμβάνειν. φρονίμου γὰρ μᾶλλον ἢ χρηστοῦ καὶ εὐ-

Κρίνων] Pro κρίνων idem Cod. κρίνω, lege sequenti. Ἰφικράτει — κρίνοντι Τιμόθεον. κρίνοντι, revocata syllaba τι ex voce sub- Nihil verius. TAYLOR.

Est enim omnino aliquid hujusmodi. Taylor. Suspicor sic restaurandam hanc legem: Οἰκῆος βλάβην τῆς δούλης διπλῆν ὀφείλειν, id est, ὀφλεῖν ζημίαν διπλῆν ὑπὲρ δούλου βλαπτομένου, ἢ ὑπὲρ δούλης βλαπτομένης. mulctam pro servo pendendam (eoque generis honestioris, urbane, nam is est ὁ οἰκεὺς et ὁ θεράπων), ubi læsus ille fuerit, duplam esse debere mulctæ pro ancilla pendendæ læsa (sordidiore imprimis et contemtiore). τῆς tum non cohærebit cum δούλης, sed cum omisso, sed subaudiendo, βλάβης. quasi dixisset: διπλῆν τῆς βλάβης τῆς ταχθείσης ὑπὲρ δούλης βεβλαμμένης. Reisk.

Οἰκῆος] Ammonius in Οἰκέτριψ. Οἰκέτριψ καὶ Οἰκέτης διαφέρει. Οἰκέτριψ μὲν γὰρ ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος, ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. Οἰκέτης δὲ ὁ δοῦλος ὁ ἁπλοῦς. Παρὰ δὲ Σόλωνι ἐν τοῖς ἄξοσιν Οἰκεὺς κέκληται ὁ Οἰκέτριψ. Taylor.

Πωλεῖσθαι] Πωλεῖσθαι. Scal. Credo auctoritate Hesychii. Quæ in hoc loco, ut paulo ante vidimus, nulla est. Idem.

Εἰ μὴ σιδήρου ἐστὶν] Π. εἰ μὴ ἐκ σιδήρου. H. Stephan. σιδηροῦς. Palmer. *In Edit. min.* Taylor. et Cont. Propius mihi videtur σιδηροῦς ἐστίν. Philo de Josepho p. 362. προσζλίψω δὲ τέως ὀφθαλμοῖς ὁ σιδηροῦς ἐγώ; Markland. Cessi auctoritati codicum mstorum magis, quam virorum doctorum, ut σιδηροῦς darem, pro vulgari σιδήρου, quod alias non movissem; quippe quod nil habet, quod minus probetur. Reisk. σιδηροῦς, *ferreus*, i. e. plumbeus. Auger.

Ἔννουν] Εἶναι Ald. Ceteri tamen codices, credo, omnes, Palmer. Steph. ἔννουν. Solus tamen Scal. οἶμαι αὐτὸν εὖ νῦν ἐγνωκέναι. Taylor. ἔννουν. Cont. Fortassis νῦν γε est interponendum. *nunc tandem aliquando sapere incipere* vel *incepisse*. ἔννους γεγονέναι pro συνιέναι et ἐγνωκέναι dictio est paulo rarior inventu. Reisk.

πάλαι, τῶν δὲ ὀνομάτων ἐνίοις οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν 118. 1
[1] τε καὶ πρότερον. δηλώσει δέ· οἰχήσεται γὰρ ἀπιὼν ἀπὸ
τοῦ βήματος σιωπῇ. εἰ δὲ μή, δέομαι ὑμῶν, ὦ ἄνδρες δικα-
σταί, τὰ δίκαια ψηφίσασθαι, ἐνθυμουμένους ὅτι πολὺ μεῖ-
ζον κακόν ἐστιν, ἀκούσαντα τὸν πατέρα [2] ἀπεκτονέναι ἢ τὴν
365 ἀσπίδα ἀποβεβληκέναι. ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς 5
ἀσπίδας ἐρριφέναι ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πα-
366 τέρα. οὗτος οὖν ἔνοχος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ
[3] οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλέηθη,
ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. ἐγὼ δὲ ἑωρακὼς
μὲν ἐκεῖνο τοῦτον ποιήσαντα, ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ
σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἄνομον καὶ δεινὸν
πρᾶγμα, μεγίστης δὲ [3] οὔσης μοι τῆς συμφορᾶς, εἰ ἀπο-

[1] τε om. T. R. A. [2] ἀπεκτονέναι ἢ τὴν ἀσπίδα om. T. R. [3] ἰσομένης A.

Δηλώσει δὲ] Scil. ὅτι νῦν ἥδη πας' ἐμοῦ μεμάθηκε. IDEM.

Δέομαι ὑμῶν — ἐνθυμουμένους] Licet obvium sit ἐνθυμουμένων, et ita postulare videatur ὑμῶν, nihil tamen innovandum. sic enim scribere amant Attici. Noster Orat. II. init. ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κρύπτειν μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δὲ ἐν ταῖς τῶν ἀγαθῶν μνήμαις etc. Infra, hoc ipsa, quæ sub manum est, Oratione: ἐγὼ δὲ ὑμᾶς δέομαι καταψηφίσασθαι Θεομνήστου, ἐνθυμουμένους, ὅτι etc. ubi eadem verba. Dinarchus κατὰ Δημοσθένους p. 104. οὐ προσκτᾶσθαι ὑμῖν ἐστὶ τοῖς τούτων λέγοις, εἰδότας ὅτι etc. Andocides adv. Alcibiad. p. 32. ἔστι δὲ σωφρόνων ἀνδρῶν, φυλάττεσθαι πολιτῶν τοὺς ὑπερυβριζομένους, ἐνθυμουμένους ὑπὸ τῶν τοιούτων τὰς τυραννίδας καθισταμένας. Lucianus Vera Hist. p. 688. ἐδέησε ὑμῶν ἀναθεμένους τὸν ναῦν ἐπὶ τὸν κύμονα τῶν δένδρων etc. Denique, ita scribit Paulus Ephes. I. 18. δώῃ ὑμῖν πνεῦμα σοφίας — πεφωτισμένους etc. Sequitur: ἐνθυμουμένους, ὅτι πολὺ μεῖζον κακόν ἐστιν, ἀκούσαντα τὸν πατέρα ἀποβεβληκέναι. Optime Schottus, τὸν πατέρα ἀπεκτονέναι, ἢ τὸν ἀσπίδα ἀποβεβληκέναι: et ita fere Abbreviator. pro ἀκούσαντα vero, legendum ἀκοῦσαι τό. MARKLAND.

Ἀκούσαντα τὸν πατέρα, κ. τ. λ.] Hic locus est mutilus, nec dubitandum est sic legendum esse: ἀκούσαντα τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα ἀποβεβληκέναι. Id omnino patet ex sequentibus. PALMER. Ita Schott. Non solum patet ex sequentibus, sed ex oratione sequenti. Βουδήσαται ἂν μοι, ἐνθυμούμενοι, ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα βίψαι. TAYLOR. et CONT. Constat hic aliquid deesse, quod quid sit, facile sententia ipsa subjicit. Aut hoc modo: ἀκούσαντα τὸν πατέρα ἀπεκτονέναι δεινὸν καταγνωσθέντα, ἢ τὴν ἀσπίδα ἀποβεβληκέναι. *gravius malum esse, te damnatum e judicio discedere, quod probrum parricidæ merito tibi objectum audieris, quam si discedas e judicio damnatus ideo, quod merito tibi exprobrata sic scuti abjectio.* Aut etiam sic: ἀκούσαντα τὸν πατέρα ἀπεκτονέναι μὴ δύνασθαι τιμωρεῖσθαι τὸν αἴτιον, ἢ ἀκούσαντα τὴν ἀσπίδα ἀποβεβληκέναι. *grandius malum est, si tu inimicum ulcisci nequeas eum, qui te cædis in patre tuo tua manu commisse insimularit, quam illum, qui te dixerit scutum abjecisse.* REISK.

Ἐρριφέναι] Post ἐρριφέναι videtur δοκεῖν abesse. *me eum videri, qui scuta, quotquot sunt, omnia abjecerim.* IDEM.

Περὶ τὸν πατέρα] Num πρὸς τ. π. est quidem hoc usitatius. nisi sic scripsisse nobis persuadebimus orationem: τοιαύτην γνώμην ἔχειν περὶ ἐμοῦ ὑμᾶς, ὡς τοιοῦτόν τι δράσαιμι περὶ τὸν πατέρα. *quam vobis eam de me opinionem insidere, me potuisse tantum facinus in patre committere.* IDEM.

Τῇ αἰτίᾳ] Scil. ᾧ ἦ διαβέλητο, *crimine cum teneretur eo, cujus insimulatus fuerat, scuti puta abjecti.* IDEM.

Τὸν μαρτυρήσαντα] Scil. Lysitheo. Dionysius is est, qui Lysitheo in causa scuti abjecti testimonium adversus Theomnestum præstiterat. IDEM.

Ἐκεῖνο τοῦτον ποιήσαντα] Id est, ἀποβεβληκότα τὴν ἀσπίδα. IDEM.

Εἰ ἀποφεύξωμαι] Insulse Schott. εἰ μὴ ἀποφεύξωμαι. Quod sequitur, licet correxit Steph. Aldinum exemplar ἄξιος

φεύξεται, τούτῳ δ' οὐδενὸς [1]ἀξίας, εἰ κακηγορίας ἀλώσεται, οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι; τίνος ὄντος ἐμοὶ 367
πρὸς ὑμᾶς ἐγκλήματος; πότερον ὅτι δικαίως ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κακηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ λόγος ἐν τῇ πόλει [2]κατεσκέδασται. ἀνα-
μνήσθητε δὲ ὅτι μεγάλην καὶ καλὴν ἐκείνην δωρεὰν αὐτῷ 368
δεδώκατε· ἐν ᾗ τίς οὐκ ἂν ἐλεήσειεν Διονύσιον, τοιαύτῃ μὲν συμφορᾷ περιπεπτωκότα, ἄνδρα δὲ ἄριστον ἐν τοῖς κιν-
δύνοις γεγενημένον, ἀπίοντα δὲ ἀπὸ τοῦ δικαστηρίου καὶ λέγοντα ὅτι δυστυχεστάτην ἐκείνην εἵημεν στρατείαν ἐστρατευμένοι, ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον, οἱ δὲ σώ-
σαντες τὰ ὅπλα ὑπὸ τῶν ἀποβαλόντων ψευδομαρτυριῶν
ἐαλώκασι, κρεῖττον δὲ ἦν αὐτῷ τότε ἀποθανεῖν ἢ οἰκαδ'

[1] ἀξιώσει T.

[2] κατεσκεύασται T.

si, est etiamnum mendosissimum. Forte: *τούτῳ δ' οὐδενὸς ἐξ ἴσου εἰ κακηγορίας* (Cod. noster solito errore *κατηγορίας*) *ἀλώσεται*. Ubi punctum quoque est mutandum. TAYLOR. Vereor, ut hic Stephanus in idem inciderit, quod in Orat. I. circa vocem *εἰωθὼν*. Antiqua Lectio, ut Ipse in margine notat, erat *ἀξιώσει*: pro quo Ille admisit in contextum *ἀξιώσειε*, quo Sensu, Ille viderit: ego nequaquam intelligo, quid velit. Facilis vero erat emendatio stante priori lectione: *τούτῳ δ' οὐδενὸς ἀξίας, εἰ κακηγορίας ἀλώσεται. cum mihi maximum futurum sit infortunium, si hic absolutus fuerit*: Mors vel exsilium: *huic vero parvum, si convitii damnatus fuerit*; nempe, quingentæ drachmæ. *συμφορὰ οὐδενὸς ἀξία*, est calamitas parva et *vili estimanda*; quæ parvo taxatur: qualis erat mulcta *τῶν κακηγορούντων*, 500 tantum drachmæ. Sic *ἐλαττοῦς ἀδικήματος ἄξιος*, apud Isocratem Orat. de Bigis, *inimicus minoris momenti*. *ζημία μικρὰ καὶ οὐδενὸς ἀξία, mulcta parva et nullius momenti*, Andocidi contra Alcib. p. 29. Contra, commodum *πολλοῦ ἄξιον*, Andocidi Orat. I. et Nostro XI. XII. et passim. Tollenda vero plena Distinctio post *ἀλώσεται*, et ponenda minima: pendet enim adhuc sententia, quæ incepit ab *ἵστε*, *ἐγὼ δὲ ἐκφανὲς, — οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι*; MARKLAND. *ἀξίας*, sl. CONT.

Βέλτιον] *Βελτίων*. Ita lege cum Schotto. TAYLOR. Pro *βέλτιον* recte Schottus *βελτίων*. usitata Oratoribus Formula. Demosthenes de Cor. *εἰ δὲ πολλῷ βελτίω τούτου, καὶ ἐκ βελτιόνων*, etc. et adv. Androtion. *ἑαυτοῦ ζελτίους καὶ ἐκ βελτιόνων*. MARKLAND.

Λόγος] Post vocabulum hoc videtur *περὶ ἐμοῦ* deesse, aut *περὶ ἡμῶν*. de me et de Theomnesto. REISK.

Κατεσκέδασται] Emenda ex Abbreviatore, *κατέσπαρται*. ille habet *διέσπαρται*, quod idem est. *λόγος ἔσπαρται*, Aristophanes Ran. v. 1237. Xenophon Cyropæd. lib. V. *οὗτος ὁ λόγος πολλὰς ἤδη ἐνέσπαρται*. Anonymus apud Suidam V. *Ἀταλαίπωρον ἐκεῖνος* (λόγος) *διεσπαρμένος εἰς τὸ πλῆθος*. *Διεσπαρμένος λόγος*, Xenophon Hellen. V. p. 548. MOR, pro *δῶρον*, recte Schottus *δωρεάν*. MARKLAND. Leg. *κατέσπαρται*. *In Edit. min.* TAYLOR. *δωρεάν*. CONT. Dodi de meo *κατεσπέδασται*. *sparsus est*. Sic dudum ante emendaveram, ut e prima editione mearum ad Lysiam animadversionum p. 49. constare potest, quæ editio A. 1759. prodiit. Nuper admodum in Corinthio de Dialectis reperi p. 156. Koenium eodem modo h. l. emendasse. Et sic dudum ante nos ambos emendaverat nescio qui vir doctus in codice Brulartiano, e quo excerpta tertio demum abhinc mense ad me missa fuerunt Strasburgo. REISK.

Μεγάλην καὶ καλὴν] Est amara cavillatio. IDEM.

Δῶρον] *Δωρεάν*. SCHOTT. PALMER.

Καὶ λέγοντα] Malim *καὶ* abesse. REISK.

ἐλθόντι τοιαύτῃ τύχῃ χρῆσθαι. μὴ τοίνυν ἀκούσαντα θεό-
μνηστον κακῶς τὰ προσήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι καὶ
λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε. τίς γὰρ ἂν
ἐμοὶ μείζων ταύτης γένοιτο συμφορὰ, περὶ τοιούτου πατρὸς
οὕτως [1] αἰσχρὰς αἰτίας [2] ἀκηκοότι; ὃς πολλάκις μὲν ἐστρα-
369 τήγησε, πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ' ὑμῶν ἐκινδύ-
νευσε· καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκείνου σῶμα ὑποχείριον
ἐγένετο, οὔτε τοῖς πολίταις οὐδεμίαν πώποτε ὤφλεν εὐθύνην, 25
ἔτη δὲ γεγονὼς ἑπτὰ καὶ ἑξήκοντα ἐν ὀλιγαρχίᾳ δι' εὔνοιαν
370 τοῦ ὑμετέρου πλήθους ἀπέθανεν. ἆρ' ἄξιον ὀργισθῆναι τῷ
εἰρηκότι, καὶ βοηθῆσαι τῷ πατρὶ, ὡς καὶ ἐκείνου κακῶς
ἀκηκοότος; τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ
τεθνάναι μὲν ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν δ' ἔχειν ὑπὸ τῶν
παίδων; οὗ ἔτι καὶ νῦν, ὦ ἄνδρες δικασταὶ, τῆς ἀρετῆς τὰ
371 μνημεῖα πρὸς τοῖς [3] ὑμετέροις ἀνάκειται, τὰ δὲ τούτου καὶ 30

[1] *αἰσχρὰν αἰτίαν* R. [2] *ἀκηκοότος*; *πολλάκις* T. [3] *ὑμετέρους ἱεροῖς ἀνάκ.* A.

Ἀκηκοότος; πολλάκις μὲν ἐστρατήγησε, πολλοὺς δὲ καὶ ἄλλους κινδύνους etc.] Ἀκηκοότος; ὃς πολλάκις etc. Cont. Lego: ἀκηκοότος; ὃς πολλάκις μὲν ἐστρατήγησε, πολλοὺς δὲ καὶ μεγάλους κινδύνους μεθ' ὑμῶν ἐκινδύνευσε. Abbreviator: αἰς ἄνδρα, ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγησε, πολλὰς (l. πολλάκις) δὲ μεθ' ὑμῶν ἐκινδύνευσε. Amittebatur ὃς in præcedente syllaba τος. Cæterum πολλοὺς καὶ μεγάλους κινδύνους, ut Orat. XII. πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων. et ita sæpe. Demosthenes Orat. in Epist. Philippi: πολλοὺς πόνους καὶ κινδύνους μεγάλους ὑποστῆναι. Retineri tamen potest καὶ ἄλλους. Vide ad Dion. Halicarnassensis Lysiam notata. Mox distingue: Ἦν δὲ γεγονὼς ἐτῶν καὶ ἑξήκοντα, ἐν ὀλιγαρχίᾳ, δι' εὔνοιαν τοῦ ὑμετέρου πλήθους, ἀπέθανεν. Secunda, ἐπ' ὀλιγαρχίας ἐτελεύτησε: et pro ἑπτὰ καὶ ἑξήκοντα maluit ἑβδομήκοντα. Ne putes has diversitates Χρονικὰς esse ab Lysia. Markland. et in *Edit. min.* Taylor. Olim sic legebatur h. l. οὕτως αἰσχρὰς αἰτίας ἀκηκοότος. πολλάκις. Possit pluralis pro singulari positus ferri, præsertim in ejusmodi re, ubi orator affectus ciere contendit, ausus tamen sum, nescio an satis circumspecte, αἰσχρὰν αἰτίαν dare. Verum de ἀκηκοότι, ὃς, quod e vulgari ἀκηκοότος effeci, haud pœnitet. neque enim de hoc superesse potest dubitatio. Reisk.

Ἑπτὰ καὶ ἑξήκοντα] Ἑβδομήκοντα in oratione altera. Taylor.

Ἐν ὀλιγαρχίᾳ κ. τ. λ.] Ἐν ὀλιγαρχίᾳ ἀπέθανεν sine commate. Nam in sequenti oratione ἐπ' ὀλιγαρχίας ἐτελεύτησε. Et supra ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθανεν. Idem.

Τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ τεθνάναι μὲν etc.] Putares superfluum esse vel τούτου vel ἢ. Sed nihil mutandum. Infra Orat. XXV. οὐδὲν γὰρ ἂν εἴη αὐτῆς χαλεπώτερον τούτων, ἢ στερηθῆναι μὲν ἡμᾶς μετέχοντας τῶν πραγμάτων, etc. ubi τούτων omitti potuit. Iterum Orat. II. τί γὰρ ἂν τούτων ἀναρότερον γένοιτο, ἢ τεθεῖν μὲν καὶ δεδέσθαι καὶ θανεῖν τοὺς αὐτῶν; qui locus huic est simillimus. Markland. Cod. ἀναρότερον. Emendante Steph. et Scalig. Taylor. Qui tamen in *Edit. min.* ἀναρότερον excudi curavit.

Παίδων] Post παίδων Contius addit τεθνάναι sine ulla necessitate. Auger.

Πρὸς τοῖς ὑμετέροις] Ἱεροῖς adjiciendum esse censet cl. Wasseus. Eam vocem conservavit oratio altera. Taylor. Add. ἱεροῖς. Cont. Lege: πρὸς τοῖς ὑμετέρους ἱεροῖς ἀνάκειται. *in templis ventris suspenduntur.* Clare Epitomator: οὗ τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ἱεροῖς ἀνάκειται. Isæus de Hæred. Dicæog. ἐν τοῖς ἱεροῖς ἀναθήματα, — μνημεῖα τῆς αὐτῶν ἀρετῆς, ἀνέθεσαν. Antisthenes: τὰ δὲ ὅπλα ἀναθέσεως εἰς ἱερὰ τὰ τοῖς θεοῖς. Vide et Diog. Laertium in Pythag. initio fere. Excidit vero vox ἱεροῖς propter similitudinem cum præcedentibus τοῖς. Markland. Ut

[1]τοῦ τούτου πατρὸς τῆς κακίας πρὸς τοῖς τῶν πολεμίων· οὕτω σύμφυτος αὐτοῖς ἡ δειλία. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσῳ μείζους εἰσὶ καὶ νεανίαι τὰς ὄψεις, τοσούτῳ μᾶλλον ὀργῆς ἄξιοί εἰσι· δῆλον γὰρ ὅτι τοῖς μὲν σώμασι δύνανται, τὰς δὲ ψυχὰς οὐκ ἔχουσιν.

ζ'. Ἀκούω δ' αὐτὸν, ὦ ἄνδρες δικασταί, ἐπὶ τοῦτον τὸν 372
λόγον [2]τρέπεσθαι, ὡς ὀργισθεὶς εἴρηκε ταῦτα, ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν μαρτυρίαν Διονυσίῳ. ὑμεῖς δ' ἐνδυ-

[1] τὰ T. [2] τρέψεσθαι A.

ἱεροῖς addatur, opus nil arbitror esse. nam primum quidem, quod vulgata dicit, id et elegantius, et ad palpandum populo Atheniensi accommodatius est; scil. patris mei, ait, monumenta virtutis dedicata sunt prope monumenta vestræ virtutis, h. e. in templis vestris. Isto pacto non restringitur gloria rerum fortiter gestarum ad solum actoris patrem, id quod invidiosum foret, sed cum toto populo Ath. communicatur, id quod imprimis facit ad conciliandam actori judicum gratiam. Deinde, si de templis solummodo voluisset orator h. l. commemorare, non dicturus fuisset πρὸς, sed ἐν potius. Reisk.

Καὶ τὰ τούτου] Dedi καὶ τοῦ τούτου. ubi τοῦ ad πατρὸς refertur. Idem.

Πρὸς τοῖς τῶν πολεμίων] Scil. μνημείοις τῆς ἀρετῆς. monumenta ignaviæ, qua nobilitati sunt hic Theomnestus ejusque pater, dedicata sunt penes monumenta rerum fortiter ab hostibus vestris gestarum. Nam ubi illi tropæa erexerunt, ibi suspenderunt quoque scutum aliquod aut ipsius Theomnesti, aut patris. Videntur verba ita constructa, ut ad πρὸς τοῖς τῶν πολεμίων subaudiendum sit e proximo μνημείοις τῆς κακίας. verum hoc oratoris menti repugnat. Ad hujusmodi auctores brevitatis in dicendo studiosos afferendus domo est sensus communis et æquitas animi, ut sententias ipsis ne affingamus, neve obtrudamus invitis, absurdas, eorumque propositis repugnantes, cum videantur ex ipsorum dictione exsistere, sed, si quæ implicate, inconcinne, ambigue dicta occurrant, ea liberali, non sycophantica, interpretatione molliamus atque corrigamus. Idem.

Ὅσῳ μείζους] Constructio verborum grammatica manifesta manca est, quam sanabimus scribentes: ὅσῳ μείζους εἰσὶν οἱ νεανίαι τὰς ὄψεις. quo altius evolant juvenum consilia, eo magis iis est irascendum. Sluiter.

Τὰς δὲ ψυχὰς οὐκ ἔχουσι] Varie tentavi hunc locum, modo ἴσας δὲ τὰς ψυχὰς (scil. corporibus) οὐκ ἔχουσι. modo τὰς δὲ ψυχὰς ἀνδρῶν οὐκ ἔχουσι. modo τὰς δὲ ψυχὰς γυναικῶν ἔχουσι. Vulgatam si sit qui defensum eat, ei dicendum erit, subaudiri e præmissis νεανιῶν debere, ac si dictum sit, τὰς δὲ νεανιῶν ψυχὰς οὐκ ἔχουσι. quod vereor ne durum sit atque improbabile. Reisk.

Ἀκούω δ' αὐτὸν — τρέπεσθαι] Lege, τρέψεσθαι. Secunda: ἐρεῖ δὲ, ὡς ὀργισθεὶς εἴρηκεν: in Futuro. Markland. et in *Edit. min.* Taylor.

Διονυσίῳ] Ex Lysitheo, ut olim monui, prodit, ut vides, amice lector, Dionysius. Credo antiquos non vocum *elementa* in hominibus compellandis religiose trutinare, sed ad *significatum* potius sive Etymon animum advertere. Ita Sophocles ab aliis *Sophili*, ab aliis *Diphili*, et deinde ab aliis *Theophili* filius dicitur, non Codicum errore, sed veterum circa eas res inconstantia. Idem enim valet *Theophilus*, *Diphilus* et *Sophilus*. (Sophili nomen in memoriam revocat tarpissimam hallucinationem, quam in Lexico Varini Camertis nuper recudendo admisere Bibliopolæ Veneti. Bibliopolæ, dico, nam doctos in ea re aliquantulum operæ impendisse nullus credo. Ecce autem. Ἀντιφῶν. εἷς τῶν δώδεκα ῥητόρων, φιλοσόφου μὲν υἱὸς, ἀπὸ τῆς φυλῆς δὲ Ἀμυνούσιος. Lege ex Harpocr. Suid. Plutarch. Phot. ceterisque: Ἀντιφῶν εἷς τῶν δέκα ῥητόρων, Σωφίλου μὲν υἱὸς, ἀπὸ τῆς φυλῆς δὲ Ῥαμνούσιος. Mi homo! pene verba mendis æquasti.) Redeo autem. Hinc oritur discrepantia nominis, de quo agitur. Idem enim sonat *Dionysius* ac *Lysitheus*. Vocatur enim Bacchus Λύσιος θεός. Hesych. Λύσιοι (f. Λύσια. Vid. Suid.) τελεταί. οὗτος ἐλήγετο τῆς τελετῆς, ἐπεὶ καὶ Λύσιος ἐλέγετο Διόνυσος. Plutarch. Sympos. 7. Sap. Ἐγὼ δὲ τὸν Διόνυσον οἶδα τά τε ἄλλα δεινὸν ὄντα, καὶ Λύσιον ὑπὸ σοφίας προσαγορευόμενον. Pausan. Bœotic. Πρὸς δὲ ταῖς καλουμέναις σπύλαις Προιτίδες θέατρον ἀποδέονται, καὶ ἐγγυτάτω τοῦ θεάτρου Διονύσου ναός ἐστι ξοάνου Αυ-

373 μεῖσθε, ὦ ἄνδρες δικασταὶ, ὅτι ὁ νομοθέτης [1] οὐδεμιᾷ ὀργῇ συγγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ [2] τὸν λέγοντα, ἐὰν μὴ ἀποφαίνῃ ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ δίς ἤδη περὶ τούτου μεμαρτύρηκα· οὐ γάρ πω ἤδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην
374 ἔχετε.

ή. Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν· ἐγὼ δὲ ὑμῶν δέομαι καταψηφίσασθαι Θεομνήστου, ἐνθυμουμένους ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι. νῦν γὰρ διώκω κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω τοῦ πατρὸς, ὃς μόνος, ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς Τριάκοντα ἐν Ἀρείῳ πάγῳ. ὧν μεμνημένοι καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε, καὶ τοῖς νόμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις οἷς ὠμωμόκατε.

[1] οὐδεμίαν A.

[2] τὸν κακῶς λέγοντα A.

σίου. Θηβαίων γὰρ αἰχμαλώτους ἄνδρας ἐχομένους ὑπὸ Θρᾳκῶν, ὡς ἀγόμενοι κατὰ τὴν Ἁλιαρτίαν ἐγίνοντο, ἵλυσιν ὁ θεὸς, καὶ ἀποκτεῖναι σφισι τοὺς Θρᾷκας παρίδοκιν ὑπνωμένους. Add. Plutarch. Sympos. 3. et 7. Eodem credo spectare nomina alia. *Lyæus*, *Liber*, Ἐλευθέριος. Cognatus fere λυσιμελὴς ὕπνος.

DIIS. MAXIMIS.
BACHO. ET. SOMNO.
HVMANAE. VITAE.
SVAVISSIMIS.
CONSERVATORIBVS.
SACRVM.

Landavii Helvetiorum.
TAYLOR.

Ὁ νομοθέτης οὐδεμιᾷ ὀργῇ συγγνώμην δίδωσιν] Lege, οὐδεμίαν: et ita Abbreviator. MARKLAND. et *in Edit. min.* TAYLOR. Bene habet οὐδεμιᾷ, *nulli iræ*, h. e. nulli injuriæ per iracundiam oblatæ, quacunque tandem e causa exorta fuerit illa iracundia. REISK.

Τὸν λέγοντα] Videtur κακῶς interponendum esse. IDEM.

Ἰδόντας] Theomnestum puta scutum abjicientem. Verum tamen duriusculum hoc cum videatur esse, malim duo illa vocabula μὲν ἰδόντας in unum μίνοντας contrahi, aut sic legi: τοὺς μὲν μίνοντας, scil. ἐν τοῖς ὅπλοις, vel ἐν τῇ μάχῃ. IDEM.

Οἷς] Proprie dicendum fuerat οὕς. verum accommodavit casum, pro more, casui proximo superiori. IDEM.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ

ΔΕΥΤΕΡΟΣ.*

Pag. ed. H. Steph. — Pag. ed. Reisk.

119. 4 α'. ΟΤΙ μὲν τὸν πατέρα μ' ἔφασκεν ἀποκτονέναι, πολλοὶ συνοίδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι· ὅτι δὲ οὐ [1]πεποίηκα, 375
ἔτη γάρ ἐστί μοι δύο καὶ τριάκοντα, ἐξ οὗ δ' ὑμεῖς κατήλ-
θετε, εἰκοστὸν τουτί. φαίνομαι οὖν δωδεκαέτης ὢν, ὅτε ὁ 376
πατὴρ ὑπὸ τῶν Τριάκοντα ἀπέθνησκεν, ὥστ' οὐδ' ὅ τι ὀλι-
γαρχία ἦν ἤδειν, οὐδὲ τῷ πατρὶ βοηθεῖν οἷός τε ἦν. ἀλλὰ
10 μὴν οὐδὲ τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα αὐτῷ· ὁ γὰρ
πρεσβύτερος ἀδελφὸς πάντα λαβὼν ἀπεστέρησεν ἡμᾶς.

[1] πεποίηκα δῆλον. A.

* ΔΕΥΤΕΡΟΣ] ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ. Coisl. Scal. ad oram sui exemplaris, οὗτος ὁ λόγος οὐδὲν ἄλλο ἢ ἐπιτομὴ τοῦ πρατίου ἐστί. Jamdudum admoneris, Lector, qualem fidem mereatur hæcce orationcula, nèque hic quidquam exspectabis dici, quod non dictum sit prius. TAYLOR. Supra dixi spuriam mihi videri hanc Orationem: neque aliter quisquam mihi facile persuaserit, cum videam eadem omnia in Hac atque in Illa; eundem fere Ordinem, eadem Argumenta, eadem Verba, nisi ubi paullum immutare Explicationis causa, vel pro libitu suo, exscriptori visum fuerit. At quare Cramben suam repeteret Noster, sine ulla vel minima ad Accusationem accessione, vel Epilogo? Mihi non dubium est, quin Studiosi cujuspiam hoc sit opus, Exercitationis et μελετήματος causa in Epitomen redigentis præcedentem Lysiæ Orationem. MARKLAND. Hanc orationem minoribus literis excudi curabat Taylorus, et Latinam ejus Interpretationem omittebat.

Ἔφασκεν] Corrige ἔφασκεν ex oratione antecedenti. TAYLOR. Lege, ἔφασκεν, ut in superiori. MARKLAND.

Καὶ μαρτυροῦσι κ. τ. λ.] Καὶ μαρτυροῦσι δέ μοι, ὅτι οὐ πεποίηκα. Steph. Aliud jubeo. Scilicet post πεποίηκα, vel ex genio linguæ vel ex vitio librarii supplendum est δῆλον, aut aliquid simile. *Eum hæc dixisse, testimoniis vestris comprobatum est:* ὅτι δὲ οὐ πεποίηκα, δῆλον· ἔτη γάρ κ. τ. λ. TAYLOR. Nihil mutandum, præter distinctionem: καὶ μαρτυροῦσι δέ μοι. ὅτι δὲ οὐ πεποίηκα· ἔτη γάρ ἐστί μοι δύο καὶ τριάκοντα, ἐξ οὗ δ' ὑμεῖς etc. Stephani Conjectura falsidicum inducit. Judices enim, quos appellat et ad quos provocat Orator, non potuerunt testari eum *non occidisse* Patrem suum: sed testari potuerunt se audivisse Theomnestum hoc illi objicientem: quam ob rem eos appellat, et accusationem postea refutat. Festinantem Stephanum fefellit βραχυλογία ista, ὅτι δὲ οὐ πεποίηκα: ubi subintelligendum est δῆλον *patet*, vel ἀποδείξω *demonstrabo*, vel aliquid ejusmodi. Quare autem mox Epitomator maluerit suum δωδεκαέτης, quam Lysiæ τριακοντούτης, nescio. MARKLAND.

Οἷός τε ἦν] Recte Steph. Cæteri omnes longe absunt a vero. ἀμελὴς τις ἦν, Ald. Unde ἀνεγὸς τις ἦν, Scal. TAYLOR. ἀνεγὸς vel κάτεγος. CONT.

Πάντα λαβὼν] Παντελῶς. IDEM.

β. Ἴσως δ' ἐρεῖ ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν [1]τις φῇ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφονον οὐκ ἐᾶν λέγειν. ἐγὼ δ' οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τῶν ἔργων διανοίας, καὶ πάντας εἰδέναι ὅτι [2]ὁπόσοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσὶ, καὶ ὅσοι ἀνδροφάνοι τινὸς, καὶ ἀπεκτονασι τουτονί. πολὺ γὰρ ἂν ἔργον εἴη τῷ νομοθέτῃ πάντα γράφειν τὰ ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν. οὐ γὰρ δή που ἐὰν μέν τις πατραλοίαν ἢ μητραλοίαν [3]καλέσῃ, ὑπόδικός
377 ἐστιν· ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα [4]τύπτῃ, ἀζήμιος ἔσται. καὶ εἴ τις [5]εἴποι ῥίψασπιν, ἀθῴως ἔσται· τὸν γὰρ νόμον, ἐάν τις εἴπῃ τὴν ἀσπίδα ἀποβεβληκέναι, ζημίαν τάττειν, ἀλλ' οὐκ ἄν τις ῥῖψαι φῇ αὐτήν. ὁμοίως δ' ἂν καὶ τῶν ἕνδεκα γενόμενος οὐκ ἂν ἀπεδέχου τὸν ἀπαγόμενον, [6]ὅτι θοιμάτιον ἔζω θέμενος ἢ τὸν χιτωνίσκον, εἰ μὴ
378 λωποδύτην ὠνόμαζεν· [7]οὐδ' εἴ τις παῖδ' ἐξῆγεν, ὡς ἀνδρα-

[1] τις εἴπῃ T. R. τίς τινα εἴπῃ A.
[2] ὅσοι A. [3] καλῇ σε A. [4] τύπτοι T. R. τύψαι σε εἴποι A.
[5] εἴπῃ T. R. A. [6] εἰ τις θοιμάτιον ἐκδεδυμένος εἴη ἢ A.
[7] εἰ μή τις παῖδ' T. R. μηδ' εἴ τις τὴν παῖδ' A.

Ἐάν τις εἴπῃ τὸν] Ἐάν τις φῇ τινὰ τόν. et v. 13. ἐάν τις εἴπῃ τινὰ τήν. IDEM.

Ἔργων] Τούτων in orat. præced. TAYLOR.

Ὁπόσοι] Π. ὁπόσοι. H. STEPHAN.

Καλέσῃ, ὑποδικός ἐστιν] Supra monui legendum καλῇ σε. Coaluerant voces, ut apud Pollucem VIII. 9. segm. 88. καὶ δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι: ubi non recte legitur διαστὰς ἀπὸ, nisi sit error Operarum. Sic et in Suida: Ἀζῳὸς λειμὼν καινότερος καὶ εὐθαλής· scribe, καὶ νοτερὸς, *et humidum*. Pro ἐστιν verius puto ἔσται, ut ἀζήμιος ἔσται, et ἀθῷος ἔσται. MARKLAND. Forte καλῇ σε. *In Edit. min.* TAYLOR.

Τύπτοι] Stephanus: τύπτειν εἴπῃ, vel, τύψαι λέγῃ. ad sensum recte: ad vestigia vocis τύπτοι, propius videtur τύψαι σε εἴποι: quod confirmat Lysias, εἴποι ὡς ἐτύπτης. MARKLAND. Forte τύψαι σε εἴποι. *In Edit. min.* TAYLOR.

Ὅτι θοιμάτιον ἔζω θέμενος ἢ τὸν χιτωνίσκον] Lego: εἰ τις θοιμάτιον ἐκδεδυμένος εἴη ἢ τὸν χιτωνίσκον. ex Lysiæ istis: εἴ τις ἀπάγοι τινὰ, φάσκων θοιμάτιον ἀποδεδύσθαι, ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι. Hoc pacto uterque idem dicet: sed brevius, et pro instituto suo, Pseudo-Lysias. MARKLAND. et *in Edit. min.* TAYLOR.

Εἰ μή τις κ. τ. λ.] Corrigenda hæc ex superiori. IDEM. οὐδ' εἴ τις παῖδ' ἐξῆγεν, ἀλλὰ τὸν ὡς ἀνδραποδιστήν. ἢ αὐτὸς μὲν ἐδικάσω κακουργίας. CONT.

Εἰ μή τις παῖδ' ἐξῆγεν] Iterum ex Lysia corrigendum: μηδ' εἰ τὸν παῖδ' ἐξῆγεν, ὡς ἀνδραποδιστὴν, sc. ἀπεδέχου ἄν. Ille ita: οὐδ' εἰ τὸν παῖδα ἐξαγαγὼν ληφθείη, οἷα ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι. Laderet, inquit, quisquis diceret, Non sum ἀνδραποδιστὴς, quia in servitutem non deduxi vel abduxi ἄνδρα *virum*, sed τὸν παῖδα *puellam*. quasi aliquis diceret, Non sum *Parricida*, quia non *patrem* occidi, sed *fratrem* tantum. Atqui ut *Parricidii actio non solum in eum dabatur, qui* parentem *interemisset, sed et in eum, qui* fratrem *occiderat* (Isidorus Orig. V. 26.), sic et ἀνδραποδιστὴς erat non solum qui *liberum virum*, sed et qui *servum* vel *servam* (*serva* enim comprehenditur sub *servo*) alienam abduxisset, Pollux Onomast. III. 8. segm. 78. Horum vero pœna erat Mors, si confiterentur, vel convincerentur. unde Agorati frater ob tale delictum ultimo sup-

ποδιστήν. καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥῖψαι τὴν ἀσπίδα. [1] καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται, ἀλλ᾽ ἐάν τις φῇ ἀποβεβληκέναι. πῶς οὖν οὐ δεινὸν, ἐὰν [2] μέν τις σὲ εἴπῃ, τοὺς νόμους ἐκλαμβάνειν οὕτως ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς· ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ [3] ἄξιον δοῦ- 379
ναι δίκην; βοηθήσατε οὖν μοι, ἐνθυμούμενοι ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα ῥῖψαι. ἐγὼ οὖν δεξαίμην [4] πάσας ἀποβεβληκέναι ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. καί γε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε· αὐτὸς δ᾽ ἔσωσα τὴν ἀσπίδα. ὥστε διὰ τί οὐκ ἂν λάβοιμι δίκην παρ᾽ αὐτοῦ; τίνος ἐγκλήματός μοι ὄντος; πότερον ὡς δικαίως ἤκουσα; ἀλλ᾽ οὐδ᾽ ἂν αὐτοὶ φήσαιτε. ἀλλ᾽ [5] ὡς βελτίονος ὄντος; ἀλλ᾽ οὐδ᾽ ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ᾽ ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι δικάζομαι; ἀλλ᾽ οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε, μηδ᾽ ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε· καὶ ταῦτα εἰς ἄνδρα, ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγηκε, [6] πολλοὺς δὲ μεθ᾽ ὑμῶν [7] κινδύνους κεκινδύνευκε, καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγονεν οὔθ᾽ ὑμῖν εὔθυναν ὤφλεν, ἑβδομήκοντα δ᾽ ἐτῶν ὢν ὑπ᾽ ὀλιγαρχίας

[1] καίτοι περὶ τοῦ ῥῖψαι ἐν A.
[2] μή τις γε εἴπῃ T. R. μέν τίς σε καπῶς εἴπῃ A.
[3] ἀξιοῦν A.
[4] πάσας τὰς ἀσπίδας ἀποβ. A.
[5] ὡς τούτου βελτίονος A.
[6] πολλὰς T. R.
[7] κινδύνους om. T. R.

plicio afficiebatur, ut narrat Noster Orat. XIII. MARKLAND.

Καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται.] Supra monui legendum: καίτοι τὸ ῥῖψαι ἐν τῷ νόμῳ οὐ γέγραπται. Lysias: καίτοι περὶ μὲν τοῦ ῥῖψαι οὐδὲν ἐν τῷ νόμῳ εἴρηται. Ita alter alteri suppetias fert. IDEM. et in *Edit. min.* TAYLOR.

Πῶς οὖν κ. τ. λ.] Scribe mecum: Πῶς οὖν οὐ δεινὸν, ἐὰν μέν τις σὲ εἴπῃ, τοὺς νόμους ἐκλαμβάνειν οὕτως, ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς· ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ ἀξιοῦν δοῦναι δίκην. TAYLOR. Lege et distingue: ἐὰν μέν τις σε καπῶς εἴπῃ, — τιμωρεῖν τοὺς ἐχθρούς· ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ ἀξιοῦν (non ἄξιον) δοῦναι δίκην; Lysias: οὐκοῦν δεινὸν, εἰ, ὅταν μὲν δούλῃ (vel δῇ) σε καπῶς ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους, ὥσπερ ἐγὼ νῦν, λαμβάνεις· ὅταν δ᾽ ἕτερον παρὰ τοὺς νόμους εἴπῃς καπῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην. Omnia eadem in utroque, nisi quod Interrogativè hæc efferat Abbreviator. MARKLAND. ἐὰν μέν τις γε —. CONT.

Ἐγὼ οὖν δεξαίμην] Melius Lysias: ἐγὼ γοῦν δεξαίμην ἄν. MARKLAND.

Πάσας ἀποβ.] Πάσας ἀσπίδας ἀποβ. CONT.

Καί γε τοῦτον μὲν ἑώρακα] Καίτοι γε τοῦτον μὲν τοῦτο ἑώρακα. IDEM.

Ἀλλ᾽ ὡς βελτίονος ὄντος;] Deest τούτου ante ὄντος. Vide Orat. IX. MARKLAND. Legendum: ἀλλ᾽ ὡς βελτίων οὗτος; sunt enim hæc expressa ex oratione præcedente, cujus hæc est epitome, ubi p. 118. v. 12. ed. Steph. hæc in eandem sententiam: ἀλλ᾽ ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ. SLUITER.

Πολλὰς δὲ μεθ᾽ ὑμῶν κινδύνους] Legendum cum præcedenti: πολλοὺς δὲ μεθ᾽ ὑμῶν κινδύνους κεκινδύνευκε. CONT. TAYLOR. Lege πολλάκις. patet ex sensu et Lysia. MARKLAND. et *in Edit. min.* TAYLOR.

ἐτελεύτησε διὰ τὴν ὑμετέραν εὔνοιαν. ἄξιον δὲ ὀργισθῆναι
380 ὑπὲρ αὐτοῦ. τί γὰρ ἂν τούτου ἀνιαρότερον ἀκούσειεν, εἰ τε-
θνηκὼς ὑπὸ τῶν ἐχθρῶν αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνη-
ρῆσθαι; οὗ τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ἱε- 40
ροῖς ἀνάκειται, τῆς δὲ τούτων κακίας πρὸς τοῖς τῶν πολε-
μίων;

γ'. Ἐρεῖ δὲ ὡς ὀργισθεὶς εἴρηκεν. ὑμεῖς δ' ἐνθυμεῖσθε ὅτι
ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζη-
μιοῖ [1] τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. ἐγὼ δὲ δὶς
περὶ τούτου μεμαρτύρηκα· οὐ γὰρ ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν
ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε.
δέομαι οὖν καταψηφίσασθαι αὐτοῦ. νυνὶ γὰρ διώκω μὲν κα- 120. 1
κηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω τοῦ πατρός, οὗ
μείζων ἀγὼν οὐκ ἂν γένοιτό μοι, ὃς μάνος δοκιμασθεὶς τοῖς
Τριάκοντ' ἐπεξῆλθον ἐν Ἀρείῳ πάγῳ. βοηθήσατ' οὖν κἀ-
κείνῳ καὶμοί.

[1] τὸν κακῶς λέγοντα A.

Διὰ τὴν ὑμετέραν εὔνοιαν] *Propter vestram benevolentiam*, i. e. propter benevolentiam in vos. AUGER.

Ἀληθῆ] Sub. λέξαντα. Prior oratio dat plenius: ὃς ἐστιν ἀληθῆ τὰ εἰρημένα. IDEM.

Ἰδιώτας] Ostendi superius lectionem esse ἰδόντας. Ita legit et Schott. TAYLOR. Schottus ἰδόντας, optime. Lysias: τοὺς μὲν ἰδόντας τιμωρεῖσθε. MARKLAND. ἰδόντας. CONT.

Κατηγορίας] Καινηγορίας. SCAL. SCHOTT. Atqui Stephanus, qui hæc reliquit, vix unica pagina elapsa idem mendum sustulerat. TAYLOR. Iterum recte Schottus, καινηγορίας. Lysias: ὥστ' γὰρ ἐμὲ καινηγορίας. Isocrates Panegyrico: χρὴ δὲ καινηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ ζημίᾳ λοιδορεῖν τας: ita scribendum puto pro κατηγορεῖν. Sic et initio Orat. de Bigis, pro κατηγορίας scribendum forte καινηγορίας. MARKLAND.

Μόνος] Μόνον. CONT.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ*

ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ,

ΟΝ ΑΥΤΟΣ ΕΙΠΕ ΛΥΣΙΑΣ.

ΥΠΟΘΕΣΙΣ.

Eratosthenes cum unus de triginta Tyrannis esset, Lysiæ fratrem, Polemarchum nomine, indicta causa necari jusserat. Quare nunc de eo supplicium vult sumi Lysias. CANTERUS.

Pag. ed. H. Steph. Pag. ed. Reisk.

120. 10 α'. ΟΥΚ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικα- 381
στὰι, τῆς κατηγορίας, ἀλλὰ πα̃υσασθαι λέγοντι· τοιαῦτα
αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, 382
ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατη-
γορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι,
15 ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν ἢ τὸν χρόνον ἐπιλι- 383

* ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ] Κατ' Ἐρατοσθένους. Κατ' Ἐρατοσθένους ἐνὸς τῶν Τριάκοντα. Κατὰ Ἐρατοσθένους ἑνὸς τῶν Τριάκοντα, ὃν αὐτὸς εἶπε Λυσίας. Ita MSS. et auctores, qui hanc orationem laudant. V. Harpocr. in Δαρεικός. Θέογνις. Θηραμένης. et alibi. Neque ambitiosa nimis cuiquam videatur priorum temporum sedulitas, quæ adjunxit ὃν αὐτὸς εἶπε Λυσίας. Noster enim, qui plurimas causas *scripsit*, nullam fortasse *egit*, hac unica excepta, eam diligentiam annotandi flagitat. Contra fere Demostheni neu venit, ut non quas ipse egerit, sed quas aliis agendas scripserit, curiosius erant indicandæ. Athen. l. 13. p. 283. m. Δημοσθένης δ' ὁ ῥήτωρ ἐν τῷ κατὰ Νεαίρας λόγῳ, εἰ γνήσιος, ὃν Ἀπολλόδωρος εἴρηκεν. Egit enim Apollodorus quidam, cujus gratia scripta fuit a Demosthene, si tamen a Demosthene. Tu interea, Dalechampi, non bene de Apollodoro Critico somniasti. "Demosthenes Rhetor in oratione contra Neæram, si modo germana est," ut Apollodorus censuit. TAYLOR.

Οὐκ ἄρξασθαί —] Initium orationis notante V. D. in M. Ald. expressit Cicero pro Leg. Manil. c. 1. "Hujus autem orationis difficilius est exitum, quam principium invenire." SLUITER.

Τοιαῦτα] Cont. τοιαῦτα γὰρ, addendo γὰρ, quod et ego velim in textum induxisse. AUGER.

Αὐτοῖς] Eratostheni ejusque collegis atque satellitibus. REISK. AUGER.

Ἀνάγκη] Ἀνάγκην εἶναι Stephano placet magis, præter rem religioso. Nam quamvis præ Stephanica lectione tolerari possit ἀνάγκη in tertio casu pro ἀναγκαίως, ego tamen quasi absolute dictum integrum relinquo. N. de Evandri probat. Ἐὰν ἐπὶ τοιούτῳ λόγον τράπωνται ὡς ὁ χρόνος οὐκ ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλ' ἀνάγκη ἐὰν αὐτὸν ἀποδειμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι κ. τ. λ. Hujusmodi est in Orat. c. Andoc. Οὐχ οἷόν τε ὑμῖν ἐστὶν ἅμα τοῖς τε νόμοις — καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ ἀπαλλακτέον τοῦ ἀνδρός. Et Lucian. in Amorib. Καί τις ἄρα πρῶτος ὀφθαλμοῖς τὸ ἄῤῥεν εἶδεν ὡς θῆλυ δυοῖν

πεῖν. τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ [1] πρὸ τοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας [2] οὔσης ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν, ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι· ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι.

β. Οὑμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι, ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδι-

[1] πρότου T. R. A.

[2] οὔσης οὐχ ὑπὲρ A.

θάτερον, ἢ τυραννικῶς βιασάμενος ἢ πείσας πανούργως. Taylor. Non opus puto ut quidquam mutetur: subintelligas modo ἐστὶ post ἀνάγκη. Cæterum Orationem hanc *quinquies* nominatim citat Harpocration sine ulla dubitationis nota: nempe in Vocibus Δαρεικός, Θίσγις, Θηραμένης, Πείσων, Πολέμαρχος. Scripsit quoque Orationem Noster ὑπὲρ τοῦ Ερατοσθένους, *pro Eratosthene*, quodam: Idem V. Αὐθέντης. Markland. Sub. ἐστί. Auger.

Ἥτις ἦ] Π. ἥτις ἦ. Μᾶλλον δὲ, ἥτις ἦν. H. Stephan.

Ἀνθ' ὅτου] Aut ἀνθ' ὅτης leg. ut ad ἔχθρας referatur, aut leg. καὶ ἀνθ' ὅτου, scil. ἔχου, vel γεγονότος, vel συμβάντος. *et cujus facti aut casus ergo.* Reisk. Sub. πράγματος. aliqui vellent legi ἀνθ' ὅτης referendo ad ἔχθρα, quod malim. Auger.

Πολλῆς ἀφθονίας οὔσης] Deest οὐ μᾶλλον post οὔσης. Canter. Si deesset μᾶλλον, attamen non οὐ μᾶλλον. Sed neque μᾶλλον abest per dolum librarii. Abesse solet. Ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐξῃφθαι ἢ τοιαύτην γνώμην ἔχειν. N. in oratt. præcedentibus.

Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἅλγεα πολλὰ μογήσας
Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι
Ἢ ἑλὼν ἀπολέσθαι ἑφέστιος.
Hom. Odyss. γ. 232.

Οὕτω δὲ ἡμέας δίκαιον ἔχειν τὸ ὕστερον πέρας ἢ περ Ἀθηναίους. i. e. δικαιότερον. Herodot. Calliop. 26. δικαίως ἂν τις τούτους ἢ τοὺς — Diod. Sic. l. 11. Ita Latini. "Eo tacent, quia tacita *bona* st mulier semper *quam* loquens." Plaut. Rud. IV. 4. 70. Qui plura velit adeat Bosii Ellips., Veenhuser. Hellenolex., et Scholam Grammaticorum. Πας' ἡμῖν γὰρ πόνος οὐ κάπτεται. Taylor. Ad verba πολλῆς ἀφθονίας οὔσης subauditur τῶν ἰδίων καὶ τῶν δημοσίων κακῶν. tum post verba ὑπὲρ τῶν ἰδίων desunt istæc pauca εἰώθασι μᾶλλον. *sed quia, quanquam satis et superest cuique malorum privatorumque publicorumque, tamen homines majores iras concipere et exercere solent super privatis injuriis, quam super publicis.* Reisk. Ante ὑπὲρ addidi οὐχ, subaudiendo μᾶλλον, quod haud raro subaudiunt scriptores Attici. Auger.

Ὅμως] Imo vero μετοίκους. Cephalus enim cum liberis, non cives erant Athenis, sed μέτοικοι, *inquilini*. Reisk. Et quidem recte. Auger.

καισάμεθα οὔτε ἐφύγομεν, ἀλλ᾽ οὕτως ὠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν μήτε ὑπὸ
30 τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ᾽ οἱ Τριάκοντα πονηροὶ μὲν καὶ συκοφάνται ὄντες [1] εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκον- 385
τες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας ἐπ᾽ ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι· καὶ τοιαῦτα λέγοντες οὐ τοιαῦτα ποιεῖν ἐτόλμων, ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν καὶ περὶ τῶν ὑμετέρων 386
ἀναμνῆσαι πειράσομαι. Θέογνις γὰρ καὶ Πείσων ἔλεγον ἐν
35 τοῖς Τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἴεν τινες τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ᾽ ἔργῳ χρηματίζεσθαι, [2] πάντως δὲ τὴν μὲν

[1] εἰς τὴν ἀρχὴν κατέστησαν, πονηροὶ μὲν καὶ συκοφάνται ὄντες, φάσκοντες δὲ χρῆναι A.
[2] πάντως δὲ ταύτην τὴν ἀρχὴν δεῖν γενέσθαι, τὴν πόλιν δεῖσθαι χρημάτων A.

Πονηροὶ μὲν] Πονηροὶ μὲν αὐτοὶ συκοφ. et mox φάσκοντες δὲ χρῆναι. CONT. μὲν abesse malim, turbat enim sententiam, non habens sibi respondens δέ. præterea quoque, periodum hanc utcunque verso et volvo, nihil aliud deprehendo, quam mutilam eam esse, et ἐπειδὴ carere sua antapodosi. videtur utique post ἐτόλμων hæc brevis sententia deesse, πάντα ταῦτα ἀντιτέθηκεν, vel similis quæpiam. *tota hæc nostra pristina felicitas concidit et eversa fuit.* perversa sunt ista omnia, scil. quæ modo dixerat de quieta sua Athenis habitatione, etc. REISK.

Τραπέσθαι] F. *τρέπεσθαι*. TAYLOR. Nulla est connexio vel exitus sententiæ, nisi vel supra pro φάσκοντες legas ἔφασκον, et hic pro καὶ τοιαῦτα, καίτοι ταῦτα: vel, quod potius puto, τραπέσθαι, τοιαῦτα λέγοντες, etc. omisso καί. Πασῶν ἐτόλμων est *facere sustinebant*, id est, *faciebant*: ut Orat. III. οὐκ ἐτόλμησα ἐπισκήψασθαι αὐτῷ, *actionem illi non intendi.* et Orat. II. οὐδένα ἐτόλμησαν μεταπέμψασθαι, *non in animum induxerunt quemquam accersere*, id est, *neminem accersebant.* Et ita sumenda hæc vox passim in N. T. ut 1 Cor. VI. 1. et Ioan. XXI. 12. οὐδεὶς ἐτόλμα ἐξετάσαι αὐτὸν, *nemo eum interrogabat, Tu quis es?* propter Rationem, quæ sequitur, *scientes* (i. e. *sciebant enim*) *quod Dominus est.* nihil igitur hic cum *audacia*: neque in isto loco Isocratis Panathen. οὐκ ἐξιδιώσασθαι τὰς χάρας ἐτόλμησαν. quem Wolfius vertit, *non in suum peculium convertere ausi fuerunt.* rectius fuisset, *converterunt*, vel, *convertere sustinuerunt*, in animum induxerunt. MARKLAND. Bene habet vulgata τραπέσθαι. In simili re, ubi de animi in melius commutatione agitur, aoristus secundus magis, quam imperfectum usurpatur. REISK.

Καὶ] Post præmissum πρῶτον debebat ἔπειτα καὶ sequi. verum in scriptore brevitatem consectante facile fero hanc indiligentiam. IDEM.

Ἀναμνῆσαι] H. e. διὰ παραδειγμάτων διδάξαι, ὧν ὑμᾶς ἀναμνήσω. *planum vobis facere conabor, per exempla, quæ vobis in memoriam revocabo.* IDEM.

Τινες] Scil. τῶν μετοίκων. IDEM.

Πάντως κ. τ. λ.] Τὴν μὲν πόλιν γενέσθαι, τὴν δ᾽ ἀρχὴν δεῖσθαι. CONT. Laudo bellulos interpretes, qui hæc concoquere potuerunt. Lege autem: πάντας δὲ αἰσθέσθαι τὴν μὲν πολιτείαν ἀρχὴν δεῖσθαι χρημάτων. De vi τοῦ ἀρχὴν dixi bene multa in superioribus. Scalig. adhuc non intelligo: πάντως δὲ τὴν μὲν πόλιν γενέσθαι, τὴν δὲ ἀρχὴν δεῖσθαι χρημάτων. TAYLOR. Nullus in his Sensus. Lego: τὴν μὲν πόλιν πένεσθαι, τὴν δ᾽ ἀρχὴν δεῖσθαι χρημάτων. *civitatem pauperem esse, imperium vero* (vel *Magistratus*) *pecunia indigere.* Orat. XIX. δεομένης μὲν τῆς πόλεως χρημάτων. et ita Orat. XVIII. Paullo post: ἔδοξεν αὐτοῖς δίκα συλλαβεῖν. Xenophon Ἑλλην. II. p. 469. dicit *triginta*, non *decem*. Dicam de hac re ad Orat. XXV. MARKLAND. Mihi venit aliquando in mentem πάντως δὲ (quod δὲ hic loci idem valet atque γάρ, quomodo δὲ haud raro usurpatur) τὴν μὲν πόλιν δεῖν ἄπολιν γενέσθαι, τὴν δ᾽ ἀρχὴν δεῖσθαι χρημάτων (aut τὴν ἀρχὴν δὲ δεῖσθαι χρημάτων). *universe enim, et prorsus necessario debere civitatem eo redigi, ut nulla sit, principes autem pecuniis indigere.* πόλις ἄπολις, est, ea civitas, quæ nomine civita-

387 πόλιν γενέσθαι τὴν ἀρχὴν δεῖσθαι χρημάτων. καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον· ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο, λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν· τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολο- 40
γία, ὡς οὐ χρημάτων [1] ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται, ὥσπερ τι τῶν ἄλλων εὐλόγως [2] πεποιηκότες.

388 γ'. Διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον. καὶ ἐμὲ μὲν ξένους ἐστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων εἰ

[1] οὗπερ T. R. A. [2] πεποιηκότας A.

tis cum gaudeat, re careat, h. e. libertate et æquo jure civili, cujus res et fortunæ omnes conciderint, numerus civium sit imminutus, nervi convulsi, animi dejecti. Ubi tyranni sunt, ibi nulla est πόλις, sed δουλεία. Reisk. F. leg. πάντως δὲ τὴν πρόφασιν γίνεσθαι, Τὴν ἀρχὴν δεῖσθαι χρημάτων. Similiter Plutarchus in Vit. Agesil. c. 13. εἰ μὲν μὴ ἀδικεῖ; ἄφες· εἰ δ' ἀδικεῖ, ἡμῖν ἄφες· πάντως δ' ἄφες. ubi πάντως Anglice verteris, *at all events*. Demosth. c. Conon. p. 1262. 16. οἱ μὲν γὰρ νόμοι, πολὺ τἀναντία, καὶ τὰς ἀναγκαίους προφάσεις, ὅπως μὴ μείζους γίγνωνται, προεῖδοντο.

Δίκα] Inquilinorum vexationem paulo aliter memoriæ prodidit Xenophon: Ἔδοξεν αὐτοῖς ὅπως ἴχνιον καὶ τοῖς φευγοῦσι χρήματα διδόναι, καὶ τῶν μετοίκων ἵνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. Hist. Gr. Plutarchus de Animal. Terrestr. et Aquatic. quoque de hac re consulendus. Taylor.

Γεγίνηται] In hac regione pauca quædam desunt. Possit locus sic propemodum sarciri: ἀλλὰ συμφερόντως τῇ πολιτείᾳ, καὶ φαίνονται καὶ τοῦτο, ὥςπερ τι τῶν ἄλλων, εὐλόγως πεποιηκότες. *sed e rep., constetque inter omnes, etiam hoc, ut si quid aliud, ipsos sapienter gessisse.* Reisk. Voc. γεγίνηται, quod in Oratoribus haud raro ad voc. τῇ πολιτείᾳ et τῇ πόλει appingi solet, sartorem olet. F. leg. ἀλλὰ [τὰ] συμφέροντα τῇ πολιτείᾳ, ὥςπερ τι τῶν ἄλλων, εὐλόγως πεποιηκότες.

Πεποιηκότες] Vel potius πεποιηκότας absolute, Atticorum more. Taylor. Cave ne mutes, in πεποιηκόσι, ut concordet cum αὐτοῖς, prout postulat Constructio Grammatica. his enim Casuum mutationibus gaudent Attici, quando nihil est Obscuritatis vel Ambiguitatis in Sensu. Vide ad Orat. X. et infra adhuc dicam, ad Orat. XX. Mox, pro ἐπεγράφοντο recte Stephanus admisit in contextum ἀπεγράφοντο. et recte quoque Interpres vertit, *in tabulas referebant*. Vide Perizonium ad Ælian. V. H. IV. 25. Markland. Dedi πεποιηκότας, subaudiendo αὐτοὺς, et est accusativus absolutus. Auger.

Διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον] *Partiti vero domos ibant*. Quomodo hæc concilianda cum iis, quæ de his temporibus refert Demosthenes Orat. in Androtionem? τότε τοίνυν, ὡς ἔστιν ἀκοῦσαι, οὐδεὶς ἦν, ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὃς ἑαυτὸν οἴκοι κρύψειεν. ἀλλὰ τοῦτο κατηγοροῦσι τῶν Τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. *iis igitur temporibus, ut fama accepimus, nemo salute privabatur, qui se domi occultabat: sed ob hoc accusantur Triginta-viri, quod homines inique ex medio foro abducebant.* Lysiæ potius, de se narranti, habenda fides: nisi forte Distinctio aliqua reperiri possit. Repetit hæc Demosthenes, iisdem fere verbis, Orat. contra Timocratem. Pro Lysia facit Xenophon Hellen. II. ubi Thrasybulus in oratione sua ait, δεινοῦντες συνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες. Falli igitur videtur vel Demosthenes, vel Rumor. Markland.

Ἐργαστήριον] Huc alludere videtur Poll. IX. 5. ubi post laudatam vocem οἰκέριον ex orat. Lysiæ, qua intercidit, subjungit: καί που καὶ ἐργαστήριον καὶ καταγωγαί. Taylor.

Ἀπεγράφοντο] Male Ald. ἐπεγράφοντο. V. Vales. ad Harpocr. in voco, *Descri-*

121. 1 βούλοιτό με σῶσαι χρήματα λαβών· ὁ δ' ἔφασκεν, εἰ πολ- 389
λὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι· ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστάμην μὲν οὖν ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει, ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. ἐπειδὴ δὲ ὤμοσεν ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν
5 ἐπαρώμενος, λαβὼν τὸ τάλαντον μὲ σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι· Πείσων δ' αἰσθόμενος εἰσ- 390
έρχεται, καὶ ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ οὐχ ὅσον [1] ὡμολόγησα εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀρ- 391

[1] ὁμολογεῖν T. ὡμολογήκειν R. A.

bere, in tabulas referre. Hesych. Ἀπογραφή, ἀριθμησις, ἢ ὑ γινομένη μήνυσις. Reote. Et utroque modo utitur noster, et Describere et Deferre. Ὁ Ἀξωνεὺς Θρασύλαος ὁ Πυθοδώρου διετίθη ποτὲ ὑπὸ μανίας τοιαύτης, ὡς πάντα τὰ πλοῖα τὰ εἰς Πειραιᾶ καταγόμενα ὑπολαμβάνειν αὐτοῦ εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ ἀπίστειλε καὶ διώκει. Took a Bill of their Lading. Heraclid. Pontic. apud Athen. l. 12. extrem. Ubi lego Αἰξωνεύς. Ita enim proferuntur et quidem constanter istius δήμου Populares. Hesych. Αἰξωνίσθαι. κατηγορεῖν. Lege Κακηγορεῖν.

ΦΑΝΟΣΤΡΑΤΗ. ΕΞΗΚΕΣΤΙΔΟΥ. . . . . .
ΑΥΤΩΙ. ΤΙΩΝΟΙ. Μ . . . . . ΛΟΠΙ. ΤΗΔ. ΑΝΕΘΗΚΑΝ.
ΖΗΛΩΤΟΝ. ΣΤΕΦΑΝΟΝ. ΤΟΙΣ. ΠΑΡΙΟΥΣΙΝ. ΟΔΟΝ.
ΕΞΗΚΕΣΤΙΔΗΣ. ΠΡΩΤΙΩΝΟΣ. ΑΙΞΩΝΕΥΣ.
ΖΑΝ. ΧΑΙΡΕ.
Monument. Antiq. Græcum Venetiis. Taylor.

Ὡμοσεν — ἐπαρώμενος — σώσειν] Vel, si me audias: ὡμολόγησεν — ἐπαρώμενος — σώσειν. Ut D. Matthæus: Μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι, ὃ ἐὰν αἰτήσηται. XIV. 7. Idem.

Ἑαυτῷ] Ἑαυτοῦ, Ald. Sed perperam. Corrige Antiphon. de cæd. Herod. juxta init. Ἐξώλειαν αὑτῷ καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ ἐπαρώμενον. Hodie αὐτῷ. Idem. ἑαυτῷ. Cont.

Αἰσθόμενος] Scil. ἐμὲ ἀνοιγνύντα τὸν κιβωτὸν, ἢ πολὺ ὂν ἐν αὐτῇ τὸ ἀργύριον. Reisk.

Ὁμολογεῖν] Ὡμολόγουν. Scalig. Stephanus: ὡμολογήκειν, promiseram. Potes etiam ὡμολόγουν. Paulo ante, τὰ ἐνόντα, quæ insunt, vel inerant; ut Luc. XI. 41. πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, sed date eleemosynam quæ insunt: nempe in calice et catino; hoc est potum et cibum; prout postulat Sensus et Argumentatio, quam corrupit prava distinctio com. 30. ubi vulgo distinguitur, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας, et construitur ἔσωθεν cum ὑμῶν: cum ita distingui oporteret, τὸ δὲ ἔσωθεν, (scil. τοῦ ποτηρίου καὶ τοῦ πίνακος, ut paullo ante, τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος) ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας: internum (ita loqui liceat) vero calicis et catini, plenum est rapina et nequitia vestra: id est, deliciis, quæ paratæ sunt ex opibus rapina partis, et ad intemperantiam versis. Pergam, quoniam ibi sum. Sequitur: *Stulti, nonne qui fecit quod deforis est, etiam id, quod deintus est, fecit?* id est, *Stolidi* ratiocinatores! si in honorem Dei, vel ad vitandam offensionem ejus, *externum* calicis et catini a materiali pollutione purum tam sollicite servatis; nonne multo fortior Ratio postulat, ut *internum* eorum a morali pollutione purum servetis? *nonne* enim idem Deus, *qui externum* eorum *fecit, internum quoque fecit? Sed* vobis monstrabo veram munditiarum viam: *date eleemosynam* pauperibus *ea quæ insunt* vestris calicibus et catinis, *et ecce,* (observate quid dicturus sum, ἰδοὺ) *omnia* (calix et catinum, internum et externum, potus et cibus) *vobis munda* erunt. ita interpretor πάντα: quia necesse est, ut ejus significatio restringatur ad ea, de quibus sermo fit: ut cap. XXI. 32. ἕως ἂν πάντα γένηται: scil. *omnia* ista, de

γυρίου καὶ τετρακοσίους κυζικηνοὺς καὶ ἑκατὸν δαρεικοὺς
392 καὶ φιάλας [1] ἀργυρᾶς τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι
δοῦναι. ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω. 10
ἐξιοῦσι [2] δ' ἐμοὶ καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ
Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες, καὶ καταλαμ-
βάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅπῃ βα-
δίζοιμεν· ὁ δ' ἔφασκεν εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα
καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. ἐκεῖνον μὲν οὖν ἐκέ-
λευον ϛαδίζειν, ἐμὲ δὲ μεθ' αὑτῶν ἀκολουθεῖν εἰς Δαμνίπ-
που. Πείσων δὲ προσελθὼν σιγῇ [3] μοι παρεκελεύετο καὶ
θαῤῥεῖν, ὡς ἥξων ἐκεῖσε. καταλαμβάνομεν δὲ αὐτόθι Θέο- 15
393 γνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο.
ἐν τοιούτῳ δ' ὄντι μοι [4] κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀπο-

[1] ἀργυρᾶν T. R. A. [2] δή μοι T. R. A. [3] μὲ T. R. A. [4] ἀποκινδυνεύειν A.

quibus paullo ante locutus fuerat. At unde Tu, inquies, hanc novam Interpunctionem inferre audes? Nimirum inde, quia eadem disertim affirmantem video Matthæum XXIII. 25. καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν (sc. τὸ ποτήριον καὶ ἡ παροψίς. non dicit τὸ ἔσωθεν ὑμῶν γέμει) ἐξ ἁρπαγῆς καὶ ἀκρασίας, scil. ὑμῶν. Satis idoneus hic Sponsor. vide et comm. 26. MARKLAND. Præter alia, quæ Scaliger et Stephanus hunc ad locum attulerunt, possit quoque ὁμολογοῦμεν et ὁμολογήκαμεν probari. Ego Stephani conjecturam prætuli. REISK. Cont. ὁμολόγουν, proponendo et aliam lectionem ὁμολόγει. AUGER.

Καρικοὺς] (Sic vulg.) Librarios omnes fefellit istud portentum, homines nasutos non fefellit. Procurarunt enim Schott. Palmer. et doctissimus Maussacus ad Harpocr. in Δαρεικός, quem vide. Nummi hujus meminere ex antiquis Arrian. expedit. Alex. l. 4., Plutarch. in Apophthegm. Lacon., in lib. de fraterno amore, in Agesil. Artaxerx. et Lysandro, et alibi, Thucyd. VIII. 28., Plato in Lyside, Xenoph. in Cyripæd. et in Expedit. Cyri junioris, Herodot. Polym. 28. Melpom. 166., Lucian. Dial. Meretric., Aristoph. Eccl. 598. vide σχ. Ælian. V. H. I. 22. præter Lexicographos, Pollucem, Hesychium, Harpocrat. et Suid. Ex neotericis explicant et illustrant Gronov. de pecuniis Vett., Sperling. de nummis non cusis, Hostus, Brerewoodus, O. W. de Monetis, Bernard. de mensuris et pond., Brissonius de regno Persarum, Alexand. ab Alexand. Genial. Dier. IV. 15. ceterique quam plurimi. TAYLOR. Recte Schottus Δαρεικούς, (hoc enim opinor voluit, licet in impresso mendose legatur δαριικὸς) et confirmat Harpocration. MARKLAND.

Μηλόβιος] Unus e XXX. tyrannis, de quo apud Harpocrationem. AUGER.

Εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ] *Ad domum fratris mei.* Hinc illustratur Lucas II. 49. ἐν τοῖς τοῦ πατρός μου, in *domo patris mei.* Sic Josephus Antt. Jud. XVI. 10. segm. 1. ἦν δ' αὐτῷ καταγωγὴ ἐν τοῖς Ἀντιπάτρου, *hospitio autem Antipatri domo utebatur.* Sic ἐγγὺς τῶν Πυθοδώρου, *juxta Pythodori ædes,* Demosthenes adv. Cononem. Miror aliquos hunc Lucæ locum aliter interpretari et vertere. Dicit: Mirum vos tam diu me quæsivisse, et non statim scivisse, ubi futurus eram. ubi enim quærendus erat *Filius,* nisi in *domo Patris* sui? Emphasis quoque est in istis, τοῦ πατρός μου. Maria enim supra dixerat, ὁ πατήρ σου, de *Josepho* loquens: Jesus vero ex hoc responso dat iis intelligere, *Deum,* non *Josephum,* Patrem ejus *revera* esse. MARKLAND. εἰς τὸν τοῦ ἀδελφοῦ etc. CONT.

Ἐν τοιούτῳ κ. τ. λ.] Locus asperrimus. Quis non arripiat: ἐν τοιούτῳ δ' ὄντι μοι κινδύνῳ φεύγειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. TAYLOR. Subauditur καιρῷ vel τόπῳ. Alias solent ἐν τοιούτοις usurpare. REISK.

Κινδυνεύειν] Ego equidem compositum ἀποκινδυνεύειν hic præferrem, *tentare fortunam, aleam jacere, experiri, successurumne sit, nec ne.* IDEM.

[1] αὐτῶν T. ἀστῶν A. [2] ὑμῖν T. [3] στρατεύσασθαι T. R. A. [4] καὶ om. A.
[5] ἔχῃ T. R. A. [6] ἠτήσατο T. A. [7] οἷς ὑμεῖς δηλώσατε T. R. A.

Τούτων] Scil. τῶν ἀδίκων. quæ in Eratosthene et in ejus collegis, Phidone reliquisque decemviris noto. REISK.

Κρείττους αὐτῶν] Se, Phidone puta, suisque collegis, meliores, triginta tyrannos designat. IDEM.

Ἡμῖν δὲ ἀδίκως φεύγουσιν] Lege ὑμῖν: ut paullo ante, δι' ὑμᾶς κακῶς ποιεῖν. MARKLAND. ὑμῖν. CONT.

Αὐτοὺς] Np. Lacedæmonios. AUGER.

Εἴτε καὶ τῶν ἱερῶν] Illud καὶ videtur delendum, ut vitiose redundans. REISK.

Αὐτῶν] Redit ad Lacedæmonios. IDEM.

Ἠτήσαντο] Ἠτήσατο. et paulo ante ἐδανείσατο. CONT. In singulari, secundum Stephanum auctorem, ediderat Taylor. neque ego illo offenderer numero, nisi insequentia μισθωσάμενοι cum aliis pluralibus obstarent. quare nullus dubitavi lectionem Aldinæ ἠτήσαντο revocare, *mutuo sibi dari ad certi temporis usuram rogabant*, Phido puta et Hippocles, et Epichares, sociique reliqui. REISK.

Μάλιστα] Subaudi πάντων Ἀθηναίων. IDEM.

Καὶ πόλεις ἐπάγοντες] An πολεμίους? Cui mox opponitur συμμάχων. certe non placet πόλεις. Tametsi sciam, quid pro ea dici possit. MARKLAND. Bene habet πόλεις. quascunque possent civitates Græcas. in ἐπάγοντες subauditur ἐπὶ τὰς Ἀθήνας. REISK.

Τῶν συμμάχων] Scil. τῶν τοῖς Λακεδαιμονίοις ὑπαρχόντων. IDEM.

Εἰ μὴ δι' ἄνδρας ἀγαθοὺς] Scil. ἐκωλύθησαν, vel τοῦτο ἐποιήσθη. IDEM.

Δηλώσατε] Ζηλώσατε Schotto et interpretibus magis arridere video et demiror simul. Lectio est: οἷς ὑμεῖς δηλώσατε, ὅτι κ. τ. λ. TAYLOR. Markland quoque οἷς sufficiebat vulgari οὓς, quod in libris Lysiæ excusis ante Taylorum versabatur. Cohæret hoc οἷς cum λαβόντες δίκην. *quorum jus laesum ita vos ulciscimini, pœnas ab eorum inimicis repetendo, ut hac ultione declaretis, vos illis quoque bonis et fortibus viris gratiam velle referre.* Aldinus οὓς qui servare velit, possit ille πρὸς addere. πρὸς οὓς, *ad quos*, vel *erga quos declarate*. quod nescio an a Lysia sit potius profectum, quam οἷς. REISK. οὓς ὑμεῖς ζηλώσατε etc. *quos, pœnas ab inimicis reposcendo, ad spem impellite, ut ipsis quoque vos gratiam debitam sitis relaturi.*

καὶ οἶδ' ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι· [1]ὅμως δ'· ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλεῖστον τοὺς αὐτοὺς λόγους ἀκούειν.

ΜΑΡΤΥΡΕΣ.

ἰά. Φέρε [2]δὴ καὶ περὶ Θηραμένους ὡς [3]ἂν δύνωμαι διὰ βραχυτάτων διδάξω. δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος Θηραμένους κατηγορῶ· πυνθάνομαι γὰρ ταῦτα [4]ἀπολογήσασθαι αὐτὸν, ὅτι [5]ἐκείνοις φίλος ἦν καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. καίτοι σφόδρ' ἂν 126. 1 αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν ὅπως οἰκοδομηθήσεται τὰ τείχη, ὁπότε [6]καὶ μετὰ Θηραμένους ὅπως καθαιρεθήσεται. οὐ γάρ μοι δοκοῦσιν [7]ἴσου ἄξιοι γεγενῆσθαι· ὁ μὲν γὰρ Λακεδαιμονίων

[1] ὁμῶς δ' ἐγὼ T. ὁμῶς δὲ· ἐγώ in edit min. T. R. [2] δὲ T. R. [3] ἂν om. T. R. A. [4] ἀπολογήσεσθαι A. [5] ἐκείνῳ A. [6] δὲ T. A. [7] ἴσον T. ἴσων R.

Ὅμως δ' ἐγώ τε γὰρ δέομαι etc.] Monui ad Orat. VII. distinguendum esse, ὅμως δέ· ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, etc. *verumtamen* producam testes: *etenim et ego interquiescere paullisper opus habeo; at vos* etc. Similis βραχυλογία supra: πλὴν, ὅταν ἐνθυμηθῶ, ὅτι etc. *sed* desino mirari, *quando in mentem venit* etc. Vide locum. MARKLAND. ὁμῶς δὲ παρέξομαι. ἐγώ τι. CONT.

Ὡς πλεῖστον] Ὡς πλείστων. IDEM. ἐπὶ interpone aut πλείστων lege. REISK.

Ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως] Mihi videtur Lysias scripsisse ὑπέρ τε ὑμῶν αὐτῶν, *vestrum ipsorum, atque Urbis causa:* ex sensu, et loco simili Orat. XXVI. *neque quisquam vestrum opinetur me accusare Evandrum in gratiam Laodamantis, quod amicus mihi sit;* ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προυσύμενον. Xenophon Hellen. VII. p. 632. τετιμωρηκότας ὑπέρ τε ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων. MARKLAND.

Παραστῇ] Idem est ac si dixisset, nolim cuiquam vestrum in mentem venire, ὡς ἄτοπα ποιῶ, Ἐρατοσθένους ἀγωνιζομένου, Θηραμένους κατηγορῶν, me stulte agere, qui Eratosthenis in causa, in Theramenem invehar. Aliena non ago. Causa hujus cum istius conjuncta est. Audio enim Eratosthenem scelera sua hac potissimum excusatione amicturum esse, ut dicat, se, qui in collegio XXX fuisset, ipsis adversari haud potuisse. Quod si ergo planum fecero, eos, quorum hic collega, satelles ministerque consiliorum fuit, pestem patriæ machinatos fuisse, et in primis Theramenem, consequitur hunc Eratosthenem quoque hostem publicum esse judicandum eoque nomine puniendum. REISK.

Θηραμένους κατηγορῶ] Restitue, Θεμιστοκλέους καὶ Θηραμένους κατηγορῶ. patet ex ratione sequentium, πυνθάνομαι γὰρ ἀπολογήσασθαι (l. ἀπολογήσεσθαι) αὐτὸν, ὅτι ἐκείνοις φίλος ἦν: et ex Comparatione inter actus politicos Themistoclis et Theramenis, collatos cum Eratosthenis actibus. Vide sententiam proxime sequentem. MARKLAND. F. ἀπολογήσεσθαι. *In Edit. min.* TAYLOR.

Ἐκείνοις] F. ἐκείνῳ, Therameni puta. IDEM.

Αὐτὸν] Np. Eratosthenem. AUGER.

Ὁπότε δὴ] Dedi ὁπότε καὶ, sub. πολιτευόμενος ἐπράττετο. REISK.

Ἴσου ἄξιοι] Π. ἴσου ἄξιοι. H. STEPHAN. ἴσων ἄξιοι. CONT. Mallem ἴσων ἀξίους: ut vitetur concursus Vocalium. Ante voces οὐ γὰρ nonnulla deesse puto: nisi corrupta sit vox γάρ. MARKLAND. Aut deest aliquid, aut nimis magnos hiatus relinquere amat Lysias in suis ratiociniis, nimisque raras et laxas junctiuras; quo multum negotii facessit lectori vincula orationis vestiganti.

ἀκόντων ᾠκοδόμησεν αὐτὰ, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους προσαπολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων· νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίους ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους. Ὃς πρῶτον μὲν τῆς πρότερας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν ταῦτ' ἔπραττεν· αὐτὸς δὲ, δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτοῦ ἡρέθη. καὶ ἕως μὲν ἐτι-
427 μᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα [1]πρεσβυτέρους αὐτοῦ [2]γινομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤδη διά τε τὸν πρὸς ἐκείνους φθόνον καὶ τὸ παρ' ὑμῶν δέος μετέσχε τῶν Ἀριστοκράτους ἔργων. βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον, φιλτάτους ὄντας [3]αὑτῷ, κατηγορῶν ἀπέκτεινεν· εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους ἀπώλεσεν. τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν αὐτὸς ἀπώλεσε,

[1] πρεσβύτερους A. [2] γενομένους R. [3] αὐτῷ T. A.

Deest autem ejusmodi quid hic loci, saltim tacite a legentium quoque supplendum: οὐκοῦν καὶ τῶν αὐτῶν τῷ Θηραμένει ἐπιχείρων ἀπηλαυσάτω. mercedem ergo ferto Eratosthenes eandem cum Theramene. Aut: οὐκοῦν ὀρθῶς ποιῶ τοῦτον ἐκείνῳ ἀντιτιθείς. ergo recte in eo facio, quod Theramenem Themistocli oppono. In δοκοῦσιν subauditur, Themistocles, atque Theramenes. Reisk. ἄξιοι, sc. Theramenes et Themistocles. Velim addi ἐκεῖνοι post δοκοῦσιν. Auger.

Καὶ τοὺς φίλους] Non solum Theramenem, sed ejus quoque amicos una cum ipso perire et funditus exstirpari. Post γὰρ subaudiri debet ἦν, tametsi additum mallem. Reisk.

Αἰτίους — γεγενημένους] Nullus dubito leg. esse αἰτίῳ et γεγενημένῳ, ob ὃς cum reliquis insequentibus. Idem.

Πρεσβυτέρους] Πρεσβύτερους volucrunt Canterus et Schottus. Sententia subjicit πρεσβυτέρους. majoris fieri, quam se. Reisk. F. πρεσβυγενεστέρους.

Τούτων] Redit ad Theramenem ejusque patrem. Reisk. Intelligo de Theramene et ipsius patre; malim tamen αὐτοῦ. Auger.

Πρὸς ἐκείνους] Pisandrum et Callæschrum. Reisk.

Τὸ παρ' ὑμῶν δέος] Ne a vobis ob superiora scelera male mulctaretur. Idem.

Ἀντιφῶντα] Bellulus interpres Ἀριστοφῶντα legit, et nos, credo demonstrationis gratia, amandat ad Thucyd. l. 8. c. 10. 12. Qui vulgatam Lysiæ lectionem confirmat. Adde Plutarch. in Antiph. Phot. in eodem, et vit. Thucyd. per Anonymum. Taylor.

Αὐτὸς — αὐτὸς] Idem. primum videri

φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ εἰρήνην ποιήσειν μήτε ὅμηρα δοὺς μήτε τὰ τείχη 428
καθελὼν μήτε τὰς ναῦς παραδούς· ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰ-
25 δότες δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων [1]εἵνεκεν τἀπορρητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ' ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως [2]ἐπετρέψατε αὐτῷ πατρίδα καὶ παῖδας καὶ γυναῖκας καὶ ὑμᾶς αὐτούς. ὁ δὲ ὧν μὲν ὑπέσχετο οὐδὲν ἔπραξεν, οὕτω δὲ ἐνετεθύμητο ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν, ὥστε περὶ ὧν οὐδεὶς πώποτε οὔ-
30 τε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι, οὐχ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' [3]αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν καὶ τὴν ὑπάρχουσαν πολιτείαν 429
καταλῦσαι, εὖ εἰδὼς ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταὶ, οὐ πρότερον
35 εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο

[1] οὕνεκεν T. R. A. [2] ἐπίμψατε T. [3] αὐτοῖς T.

possit *ultro, sponte sua*. secundum, *suismet manibus*. REISK.

Πραττούσης — σωτηρίαν] Forte, *σωτήρια, salutaria* civitati. Mox, pro ἐπίμψατε recte Stephanus [Canterus, et Contius] ἐπιτρέψατε. sæpe ita loquitur Noster. Vide infra. MARKLAND. Vulgatam qui defendat, possit ille dictionem πράττειν τὴν σωτηρίαν accipere pro, *oratione, litteris, legationibus, consiliis, opera sua denique omni pacem atque salutem contendere conciliare*. Verum penes me dubium nullam est legi oportere προστατούσης et σωτήρια. Defectus ipse articuli in vulgata vitium statim prodit. REISK.

Ταῦθ' ἃ πρὸς] Ταῦτα πρὸς Cod. Vind. quod si probatur, leg. ἐκείνος δὲ ἃ ἐν τοῖς—. IDEM.

Αὐτοῖς] Malim αὐτός. Atque ita Canterus correxerat. TAYLOR. Lege αὐτὸς, *ipse*. MARKLAND.

Ἕως] Aliquando ἢ ἕως leg. esse suspicabar, antequam morem Lysiæ tenerem. Sed bene habere h. l. vulgatam docet alius simillimus p. 144. 42. ed. Steph. μὴ πρότερον — ἕως ἂν ἐδοκιμάσθησαν. REISK.

Ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς] Lege, ὑπ' ἐκείνων, sc. Λακεδαιμονίων: *tempus ab illis constitutum*. MARKLAND. Idem suasit Taylor quoque, sed bene habet h. l. vulgata. Utrumque, tam ἐκείνου, quam αὐτοῦ, ad eundem Theramenem redit. poterat utique ὑπ' αὐτοῦ sine damno sententiæ abesse. verum hæc est Lysiæ brevitas. Sæpe deficit in necessariis, sæpe redundat cum dedecore et ad fastidium. Mutandum tamen si quid h. l. sit, malim ὑπ' αὐτῶν legi. prædictum ab ipso tempus (a Theramene puta), religiose ab ipsis (Lacedæmoniis nempe) servatum esset. REISK. Malim ὑπ' αὐτοῦ, neque recursus harum duorum vocum mihi displiceret. AUGER.

Μετεπέμψατο] Imo vero μετεπέμψατο in plurali, Lacedæmonii puta. Horum enim erat imperatorem suum ex Asia ar-

μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. τότε δὲ τούτων ὑπαρχόντων,
430 καὶ παρόντων Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν, ἵνα μήτε ῥήτωρ μηδεὶς [1] αὐτοῖς ἐναντιοῖτο μήτε ἀπειλοῖτο, ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκείνοις δο- 40
κοῦντα [2] ψηφίσαισθε. ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν [3] ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι ἣν Δρακοντίδης [4] ἀπέφαινεν. ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες ταῦτα· ἐγινώσκετε γὰρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. Θηραμένης δὲ, ὦ ἄνδρες δικασταὶ, — καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξο- 127. 1
μαι — εἶπεν, ὅτι οὐδὲν αὐτῷ [5] μέλει τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράτ-
431 τοντας [6] αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι. μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ τολμηρῶς εἶπε, καὶ ὅτι παρασπόνδους ὑμᾶς [7] ἔχει, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται ἀλλὰ περὶ σωτηρίας ὁ 5
λόγος, εἰ μὴ [8] ποιήσαιθ' ἃ Θηραμένης [9] κελεύει. τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν [10] εἶχον, οἱ δὲ ᾤχοντο ἀπιόντες, τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο· ὀλίγοι δέ τινες καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι τὰ προσταχθέντα ἐχειροτόνησαν. παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν οὓς

[1] αὐτοῖς μηδεὶς T. R. A. [2] ψηφίσοισθε T. A. [3] ἡμᾶς T.
[4] ἀπέφηνεν R. [5] μέλοι T. R. A. [6] αὐτῷ T. A.
[7] ἴχει T. R. A. [8] ποιήσαισθ' T. A. [9] καλεύει. T. R. A.
[10] ἦγον T. R. A.

cessere. Therameni jus nullum et potestas nulla in Lysandrum erat; proinde etiam illum arcessere nequibat. Reisk.

Μήτε ἀπειλοῖτο] Videtur ἄρχων interponendum esse, ut sibi membra respondeant: μήτε ῥήτωρ — μήτε ἄρχων. Idem.

Ἐκέλευσεν ὑμᾶς] Ὑμᾶς. Cont. Iterum scribe ὑμᾶς. Markland.

Περὶ δουλείας καὶ ἐλευθερίας] Scil. ὁποτέρας αὐταῖν τὸ λοιπὸν ὑμῖν ἐστὶν ἐκτῖσον. utram earum imposterum sitis habituri. Verumtamen suspicor Lysiam dedisse: καὶ οὐκ ἐλευθερίας. super servitute, non autem libertate, imposterum habenda. Reisk.

Μέλλει] (Sic Ald.) μέλει. et v. 17. λέγοι. Cont.

Τὴν παρασκευὴν] Παρασκευὴ est oratoribus Atticis conjuratio factionis, clandestina machinatio sceleratorum, qui secretis consiliis inter se agitatis in id consenserunt, ut operæ fraudisque et gratiæ et potentiæ quicquid possent conferrent, ad efficiendum, ut jus æquum pervertatur, et libertas civilis opprimatur. Reisk.

Θηραμένης ἀπέδειξε χειροτονῆσαι, δέκα δὲ οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων· οὕτω γὰρ τὴν [1] ὑμετέραν ἀσθένειαν ἑώρων καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ἤδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. ταῦτα δὲ οὐκ ἐμοὶ [2] δεῖ πιστεῦσαι ἀλλὰ 432
ἐκείνῳ. πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν, ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν, [3][οὐδὲν] φρονтίζων δὲ τῶν Λακεδαιμονίων, ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ αὐτὸς αἴτιος γεγενημένος [4] τούτων [5] τυγχάνει, πολλὰς πίστεις [6] αὐτοῖς ἔργῳ δεδωκὼς καὶ παρ' ἐκείνων ὅρκους [7] εἰληφώς. τοσούτων οὖν καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ 433
καὶ μικρῶν καὶ μεγάλων [8] αἰτίου γεγενημένου τολμήσουσιν αὐτοὺς φίλους ὄντας [9] ἀποφαίνειν, οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς [10] αὐτοῦ πονηρίας, καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος — ἤδη γὰρ αὐτὴν κατέλυσε —, δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν, καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος δεινοτάτων ἔργων διδάσκαλος καταστάς.

[1] ἡμετέραν T. [2] δεικεῖ T. [3] Absunt unci T. R. A.
[4] τοιούτων T. R. A. [5] τυγχάνοι R. A. [6] αὐτῷ T. R. A.
[7] εἰληφώς. καὶ τοσούτων καὶ T. R. A. [8] αἴτιος γεγενημένος T. R. A.
[9] ἀποφαίνειν; T. R. [10] αὐτῶν T. A.

Πρότερον] Subaudi ἢ γεγόσθαι τὴν ἐκκλησίαν. REISK.

Δοκεῖ] Ἀξιῶ. CONT.

Ἐκείνῳ] Therameni puta. REISK.

Εἰρημένα ἐν τῇ βουλῇ, ἀπολογούμενος, etc.] Ita distinguendum: πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα, ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν, ὀνειδίζων μὲν etc. et mox, pro αὐτῷ ἔργῳ δεδωκὼς, malleni αὐτοῖς, vel αὐτός. MARKLAND. Pari modo Taylor quoque auctor fuerat, ut vulgarium librorum interpunctio h. l. corrigeretur. Et parui. Defensionem hanc Theramenis Xenophon in Hellenicis retulit. REISK.

Τοῖς φεύγουσιν] Non illis, qui a Phyla, post sublatam XXX tyrannorum tyrannidem, domum redissent, qui reditus cæde Theramenis est posterior, sed his, qui post CCCC viros, dudum ante. IDEM.

Δι' αὐτὸν κατέλθοιεν οὐδὲν φροντίζων δὲ etc.] Lege: ὅτι δι' αὐτοῦ κατέλθοιεν, οὐδὲν φροντίζοιεν δὲ τῶν Λακεδαιμονίων. vel, δι' αὐτῶν, sc. Λακεδαιμονίων. MARKLAND.

Αὐτῷ ἔργῳ] Haud scio an pro αὐτῷ scribendum sit αὐτοῖς, quo pacto major in his verbis erit efficacia. SLUITER.

Καὶ τοσούτων] Hic absoluta excursione de Theramene, redit orator ad propositum conficiendum, quod hoc est: Eratosthenes fidit Theramenis amicitia, per eamque sperat se elapsurum. atqui Theramenes inimicus reip. vestræ fuit infestissimus. ergo Eratosthenes quoque est. ergo puniri debet. REISK.

Αἴτιος γεγενημένος] Scil. Eratosthenes cum sodalibus. Ego vero malim legi αἰτίου γεγενημένου. ut ad solum Theramenem referatur. *audebunt se amicos ferre Theramenis ejus, qui cum tanta mala conciviset reip., cecidit, non pro vobis, sed ob facinora sua.* IDEM.

Κατέλυσε] Id est, ἐπειράτο καταλύειν. IDEM.

Ἂν ἐν] Interponi velim καί. IDEM.

Καὶ τῷ καλλίστῳ κ. τ. λ.] Innuit agnomen, quod Therameni vulgo tribuebatur,

434 ιβ'. Περὶ μὲν τοίνυν Θηραμένους ἱκαναί μοί ἐστι τὰ κατηγορημένα· ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τουτοὺ συναρχόντων δίκην [1]λαμβάνειν, μηδὲ μαχομένους [2]μὲν κρείττους εἶναι τῶν πολεμίων, ψηφιζομένους δὲ ἥττους τῶν ἐχθρῶν. μηδ' ὧν φασὶ μέλλειν πράξειν πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀποῦσι μὲν τοῖς Τριάκοντα [3]ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ἃ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει· οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν [4]γινομένων, ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. καίτοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτως ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν· παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι, 435 λάβοιτε. τί γὰρ ἂν παθόντες δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες; πότερον εἰ αὐτοὺς [5]ἀποκτείναιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν,

[1] λαβεῖν T. R. A. [2] μὲν om. T. R. A. [3] ἐπιβουλεύσητε A. [4] κρινομένων A. [5] ἀπεκτείνοιτε T. R. A.

κάθαρσις scilicet, quod ei nomen inditum fuit ob ejus mutationes et parum constantem in partibus animum, eo quod cothurnus species erat calcamenti tragici, quod utrique pedi accommodabatur. PALMER. Errat vir doctus. Nihil minus hoc in loco agitur. TAYLOR. Nomen illud pulcherrimum atque honestissimum, quo Theramenes ad velandum fraudes suas abutebatur, erat studium tuendæ reip. pacisque reconciliandæ. REISK.

Μαχομένους κρείττους] Interponendum videtur μέν. Idem postmodum in schedis Brularianis quoque reperi. IDEM. Contius quoque addit μέν post μαχομένους.

Τῶν τουούτων φίλων] (Sic Ald.) τῶν τούτου φίλων. CONT.

Οἷς τὰς ἀπολογίας ἀνοίσει] Dictionem ἀναφέρειν τινὶ τὴν ἀπολογίαν, vel τὴν αἰτίαν, nusquam alibi me videre memini, semper dicitur εἴς τινα. Quare et hic credo emendandum εἰς οὓς τὰς ἀπολογίας ἀνοίσει: præpositionem εἰς sequens εἷς suo loco expulit. Sic plane p. 126. v. 6. ed. Steph. τὸν δὲ ὀφῶ τὰς ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας: p. 122. v. 6. εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν: v. 37. ἀν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι: p. 134. v. 42. ἀκούω δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι περὶ τῶν γραφῶν: p. 164. v. 42. οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον. Conf. Euripides in Oreste, v. 76. Bacchis, v. 29. Ione, v. 827. Demosthenes c. Aphobum II. p. 838. v. 14. ed. Reisk. SLUITER.

Κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν] Forte, ὁ αὐτὸς, idem. Philo de Joseph. p. 378. σὺ γὰρ μέλλεις ἔσεσθαι καὶ δικαστὴς καὶ κατήγορος. MARKLAND.

Τῶν γινομένων] Imo vero τῶν κριναμένων, reorum in jus vocatorum. REISK.

Ἂν παθόντες] Alius καὶ interposuisset, item alius dixisset: εἶεν ἂν τῶν ἔργων. IDEM.

Ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν] Miror neminem animadvertisse scribendum esse λάβοιτε, cum in universa hac sententia Ly-

ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς [1]ἀκρίτους ἀπέκτειναν; ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ [2]δημεύσαιτε, καλῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες δίκην παρ' αὐτῶν οὐκ ἂν [3]δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἠντινοῦν ἀπολιπεῖν, ἥντινά τις
128. 1 βούλοιτο παρὰ τούτων λαμβάνειν; πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνὶ οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας· τοσοῦτον δ' ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν. ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένους ὅτι οὔτ' ἂν
5 ἐκεῖνα δύναιντο ποιεῖν μὴ ἑτέρων συμπραττόντων, οὔτ' ἂν 436
νῦν ἐπεχείρησαν [4]ἐλθεῖν μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι· οἳ οὐ τούτοις ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων καὶ τοῦ λοιποῦ ποιεῖν ὅ τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε.

ιγ'. Ἀλλὰ καὶ τῶν [5]συνερούντων αὐτοῖς ἄξιον θαυμά-
10 ζειν, πότερον ὡς [6]καλοὶ κἀγαθοὶ [7]αἰτήσονται, τὴν αὐτῶν 437

[1] ἀκρίτως T. R. A. [2] δημεύσετε T. [3] δύησθε T. R. A. [4] ἰλθεῖν T. R. A. [5] συπεγεύντων T. [6] καλοὶ ἢ ἀγαθοὶ T. [7] τούτους ἐξαιτήσονται A.

sias secunda, uti dicunt, persona utatur. Neque etiam μέτοικος Lysias cum civibus ἐν τῷ δίκην λαμβάνειν sine invidia se poterat componere. SLUITER.

Λαβεῖν] Post λαβεῖν videtur ἱκανὴν deesse. REISK. Post λαζεῖν videtur addendum ἱκανὴν vel ἀξίαν. AUGER.

Τῆς τούτου ποτηρίας] Pro τούτου velim αὐτοῦ, et ita sum interpretatus. IDEM.

Τοσοῦτον δ' ὑμῶν καταφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν; ἂν etc.] Ita distinguendum. nec opus est, ut, cum Stephano legamus δὴ vel γε, pro δ'. MARKLAND. Aut delendum est hoc δὲ, aut cum ἢ est mutandum. REISK.

Ἐνθυμουμένους] Ἐνθυμουμένους. SCALIG.

Ἐλεῖν] Lege ἐλθεῖν, vel ἰρεῖν, vel εἰπεῖν, vel aliquid simile. TAYLOR. Forte, ἰρεῖν: cui opponitur præcedens ποιεῖν. sic infra, οὔτε τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν. Totus locus a Lysia hoc modo scriptus fuisse videtur: ἐνθυμουμένους, ὅτι οὔτ' ἂν ἐκεῖνα τότε ἐδύναντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων, οὔτ' ἂν ταῦτα νῦν ἐπεχείρησαν ἰρεῖν, μὴ ὑπὸ etc. singula singulis respondent et ἀντιτίθενται. MARKLAND. et in *Edit. min.* TAYLOR. Mihi videtur sic leg. οὔτ' αὖ νῦν ἐπεχείρησαν ἐλθεῖν (scil. ἐνθάδε). *neque nunc ausuros fuisse huc venire*, ad causam capitis dicendum. REISK. Ad ἐλεῖν sub. τὴν γραφὴν, *causa vincere*. malim tamen ἐλθεῖν, subaudiendo εἰς ὑμᾶς. AUGER.

Τῶν πεπραγμένων] Malim ἐκ τῶν πεπρ. nam ἄδειαν non cum hoc genitivo cohæret, sed cum ποιεῖν. REISK.

Τοῦ λοιποῦ] *posthac, deinceps*. Ad ποιεῖν subaudi ἂν, vel muta in ποιήσειν, *arbitrati se posthac facturos*; nisi velis iterare τοῦ, ita ut prius τοῦ cohæreat cum ἄδειαν. AUGER.

Καλοὶ ἢ ἀγαθοὶ] Corrige καλοὶ κἀγαθοί. Canterus etiam Π. ὡς καλοὶ κἀγαθοὶ ἀπολογήσονται. TAYLOR. Dedi καλοὶ κἀγαθοί. neque dubito idem in Vindobonensi esse, tametsi ex eo nonnisi καλοὶ est annotatum. REISK.

Αἰτήσονται] Bene habet. est idem atque ἐξαιτήσονται, rogabunt Eratosthenem ejusque complices sibi condonari. Planius tamen, ni fallor, et elegantius dedisset (et nescio an sic dederit): ὡς καλοὺς ἀγαθοὺς αὐτοὶ ὄντες ἐξαιτήσονται. v. p. IDEM.

ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς [1][τούτων] πονηρίας· ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι [2]ἀπολλύναι· ἢ ὡς δεινοὶ λέγειν ἀπologήσονται καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν [3]οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν.

ιδ'. Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες [4]αὐτῶν κατηγοροῦσι, σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἠγοῦνται τοὺς Τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ δεινὸν ἦν καὶ τῶν [5]τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. [6]καίτοι οὗτοι μὲν σωθέντες πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δὲ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκοῦν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώ-

[1] τούτων om. T. R. uncos om. A. [2] ἀποδοῦναι T. [3] οὔτε T.
[4] αὐτῶν T. [5] τεθνειότων T. R. A. [6] καὶ τοιοῦτοι T. A.

Τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας] Clare legendum, τῆς τούτων πονηρίας: cui opponitur τὴν αὐτῶν ἀρετήν. SUA IPSORUM *merita majora esse ostendentes, quam* HORUM *improbitas fuerit.* Vide sequentia. MARKLAND. Assentior Marklando, aiens, aut τούτων aut ἐκείνων interponendum esse. REISK.

Ἀποδοῦναι] Πρoδοῦναι. CONT. Lego, ἀπολλύναι. *Utinam*, inquit, *Hi tanto studio* SERVARE (σώζειν), *quanto Isti* PERDERE *rempublicam, vellent.* Eadem oppositio infra: καίτοι οὗτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι. ita legendum pro καὶ τοιοῦτοι. MOX, pro αὐτῶν κατηγοροῦσι, supra monui scribendum αὐτῶν, *se ipsi accusant.* MARKLAND. F. ἀπολλύναι. *In Edit. min.* TAYLOR.

Οὐδὲ] Sic de meo dedi, pro vulgari οὔτε. *ne justa quidem et æqua.* REISK.

Διὰ τοῦ ὑμετέρου πλήθους] Ultima vox videtur servare vestigia veræ Lectionis; quæ, nisi me fallit Ratio, est ἐλέου. mirum, inquit, si *per vestram misericordiam* hi nunc serventur, ipsi olim adeo crudeles et *immisericordes*, ut in civium a se occisorum funera prodire ne propinquis quidem eorum permiserint: οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τηλικῆσδε πόλεως τοὺς πρώτους ἐλθεῖν παραγαγέσθαι, ut de iis narrat Æschines adv. Ctesiph. §. πς'. MARKLAND. Bene videtur πλήθους habere. Lysias, antithetorum venator, multitudinem plebis Atheniensis opponit paucitati tyrannorum. REISK.

Τεθνειότων] Ὀλίγῳ ὕστερον, τεθνεώτων. H. STEPHAN.

Αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνειότων etc.] Lego: διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ οὐδ' ἐνῆν καὶ τῶν τεθνεώτων etc. *per Eratosthenem vero et collegas ejus non licuit, ne defunctorum quidem funera prosequi.* MARKLAND.

Οὐκοῦν δεινὸν κ. τ. λ.] Locum ita restituere meditatur Scholtus: Οὐκοῦν δεινὸν, εἰ — ἀπωλίσασι, τοσοῦτοι εἰς ἐκφορὰν ἥξουσιν, ὁπόσοις δανεῖν ἀδίκως αὐτοὶ παρεσκευάσαντο. Jam mihi quotidianus erit ille Œdipus, qui Lysiam corrigit, præ illo, qui a te correctum intelligit. Facilius mecum sanabis: Οὐκοῦν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι πολλοὶ συναπώλλυντο, ὥστε ἐπ' ἐκφορὰν ἥξουσιν αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, τοσοῦτοι βοηθεῖν παρασκευάζονται. Modo dixerat δεινὸν fuisse διὰ Ἐρατοσθένην, τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν, ad domesticam calamitatem sc. et funus Polemarchi respiciens: jam autem comparatione facta grave istud et indignum clamitat, *periclitari eos, qui sub trigintavirali dominatu ad amicorum injuria sublatorum exsequias ivere: eis autem sicariis ipsis tot cives in eorum calamitate subvenire.* TAYLOR. Non pœnitet conjecturæ in hunc desperatissimum locum: οὐκοῦν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι, νῦν ἀπολυμένης αὖ τοῖσδε, τοῖς τὴν πόλιν ἀπολέσασι, μὴ ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὑφ' ὧν τὸ θανεῖν τοσούτοις οὗτοι παρεσκευάζοντο: *iniquum igitur foret, si amicis eo-*

των οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπο- 439
λέσασιν [1]ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε [2]βοηθεῖν 440
τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολὺ [3]ῥᾷον ἡγοῦμαι
εἶναι ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι
πεποιήκασιν ἀπολογήσασθαι. καίτοι λέγουσιν, ὡς Ἐρατο-
σθένει ἐλάχιστα τῶν Τριάκοντα κακὰ εἰργασται, καὶ διὰ
τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι· ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων
πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν
ἀπολέσθαι. ὑμεῖς δὲ δείξατε ἥντινα γνώμην ἔχετε περὶ τῶν 441
πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε
ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε,
ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ
οὐχ ἕξετε λέγειν ὅτι τὰ ὑπὸ τῶν Τριάκοντα προσταχθέντα
ἐποιεῖτε· νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν
ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. ὥστε συμβουλεύω μὴ
τούτων ἀποψηφισαμένους ὑμῶν αὐτῶν καταψηφίσασθαι.
μηδ' οἴεσθε κρύβδην τὴν ψῆφον [4]εἶναι· φανερὰν γὰρ τῇ
πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε.

[1] ἤ που T. ἤπου ἐπ' R. A. [2] νοηθεῖν T. [3] ῥᾴδιον T.
[4] εἶναι om. T. R. εἶσιν A.

rum, qui injuste perierunt, ad horum, qui rempublicam perdiderunt, nunc invicem pereuntium, funera venire non licuerit; multi numero venturi, *quandoquidem isti* (οἱ Traginta) *causa mortis tam multis exstiterint.* Usitatior ordo scribendi est, μὴ ἐπ' ἐκφορὰν ἥξωσι· πολλοὶ, ὁπότε, etc. et hunc in Versione, perspicuitatis causa, secutus sum: sed alterum fieri solet, et venustatem suam habet. Hæc ultima acutissima sunt. Schotti Conjectura de hoc loco, nimis vaga et libera, per se ipsa refutatur. Mox, pro δείξατε, sensus postulat δείξετε, *ostendetis.* MARKLAND. In hoc loco primum pro εἰ leg. videtur ἤ vel εἴη. Sic οὐκοῦν δεινὸν ἦ. *grave et infandum sit.* hic insistit oratio paululum. tum de novo sic orditur τῶν μὲν ἀδίκως—deinde pro ἤ που ἐκφορὰν legendum arbitror ἤ που ἐπ' ἐκφορὰν utique, profecto, procul dubio, exsequias ibunt, honoris causa. tertio βοηθεῖν e Taylori annotatione adscivi, pro vulgari νοηθεῖν. Et sic perlevi opera sanatum habemus hunc locum. REISK.

Ῥᾷδιον] Π. ῥᾷον. H. STEPHAN. CONT.

Ἀντειπεῖν] Id est h. l. κατηγορεῖν. REISK. AUGER.

Περὶ] Τοὺς Coisl. Hæc loco moveri video. Lege itaque: ῥᾷδιον—περὶ ἃν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ ὑπὲρ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. TAYLOR. Vid. not. Brem. ad Demosth. Olynth. A. vol. i. p. 12. ed. Nost.

Τῶν ἄλλων Ἑλλήνων] Rectius, ut mihi videtur, scripsisset τῶν ἄλλων πολιτῶν. Comparatio enim nimis extenditur, et ultra rem profertur. Suspicor vocem Ἑλλήνων ortum habuisse ex præcedente ἄλλων. MARKLAND. Ego equidem Ἑλλήνων tuebor. Sententia plana est. Eratosthenes, etiamsi verum sit, quod aiunt ejus defensores, eum omnium tyrannorum minimum vobis malorum injunxisse, tamen omnium Græcorum unus plurima mala vobis dedit. Vel in omnibus Græcis simul sumtis, qui vos bellis unquam exagitarunt, nemo est, qui vos pluribus affecerit damnis, quam hic unus Eratosthenes. REISK.

Οὐκ οἴονται] Subaudi διὰ τοῦτο. IDEM.

Ἀπολέσθαι] Melius conveniret interrogationis nota post ἀπολέσθαι. *Annon arbitrantur eum morte plecti debere?* Modo δείξετε. *Vos vero ostendetis, &c. In Edit. min.* TAYLOR.

Ὡς] Malim aut plane deletum, aut in ejus locum suffectum πᾶσιν. REISK.

Οἴεσθε] Οἴεσθε. SCALIG. Οἴεστε. CANTER. Οἴεσθαι, ὅτι εἶσται κρύβδην. CONT. Legendum, εἶσεσθε: neque clam suffra-

ιέ. Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαί-
νειν, τούς τε ἐξ ἄστεος καὶ τοὺς ἐκ [1]Πειραιῶς, ἵνα τὰς
ὑμῖν διὰ [2]τοῦτον γεγενημένας συμφορὰς παραδείγματα
ἔχοντες τὴν ψῆφον φέρητε. καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεός 35
ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε,
ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ πολίταις ἠναγκάζεσθε πο-
442 λεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν τοῖς νικήσασι
τὸ ἴσον [3]ἔχετε, νικήσαντες δ' ἂν τούτοις ἐδουλεύετε. καὶ
τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων μεγά-
λους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον 40
ἐλάττους [3]ἔχετε. συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν,
συνδιαβάλλεσθαι δ' ἠνάγκαζον, εἰς τοσοῦτον ὑπεροψίας
ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι πιστοὺς ὑμᾶς
ἐκτῶντο, ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες εὔνους ὤοντο εἶναι.
ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ θαρραλέῳ ὄντες, καθ' ὅσον δύνασθε,
443 καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ [1]Πειραιῶς τιμωρή-
σασθε, ἐνθυμηθέντες μὲν ὅτι ὑπὸ τούτων [4]πονηροτέρων 129. 1
ὄντων ἤρχεσθε, ἐνθυμηθέντες δὲ ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων
πολιτεύεσθε καὶ τοῖς πολεμίοις μάχεσθε καὶ περὶ τῆς
πόλεως βουλεύεσθε, ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς
οὗτοι φύλακας τῆς [5]σφετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας δου-

[1] Πειραιέως A. [2] τούτων T. A. [3] εἴχετε T. R. A.
[4] πονηροτάτων R. [5] ὑμετέρας T.

gium laturi estis: ut mox, ποιήσετε. Dinarchus adv. Aristogit. περὶ τῶν ἄλλων ἀποφάσεων οἵσετε τὴν ψῆφον. Demosthenes in Mid. καὶ περὶ τούτου τὴν ψῆφον οἵσετε τῶν ὑμείς. Ubique occurrit phrasis. Ad rem Lycurgus: κρύβδην ψηφιζόμενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὑτοῦ γνώμην τοῖς Θεοῖς. MARKLAND. Ego equidem οἵσεσθε servem, at οἵσειν addi velim post ψῆφον. REISK.

Τὸ ἴσον εἴχετε] Excidit Negativa οὐκ, vel οὐκ ἄν, ante εἴχετε. Dixi ad Orat. IV. ubi idem mendum. MARKLAND. Bene habet vulgata. *in quo si vincerimini, pari eratis loco futuri atque victores*, h. e. perinde servi XXX tyrannorum, atque illi, a quibus victi fuissetis, erant. REISK.

Ἐκ τῶν πραγμάτων] Opinor ἁρπαγμάτων, *rapinis*. Æschines adv. Ctes. §. π'. τὰ περὶ τὰς τριήρεις καὶ τοὺς τριπράρχους ἁρπάγματα. Scio quidem πράγματα interdum significare *turbas*. MARKLAND. Vulgatam rursus acsim defendere. Subauditur τῶν τότε ὑπαρχόντων. Sæpe vocab. πράγματα malo sensu usurpatur pro molestiis, negotiis turbulentis et luctuosis, *et illis negotiis calamitosis, in quibus versebantur*. REISK. Cum Reiskio facit Augerus.

Ἐλάττους] Ἔλαττον. CONT.

Συνδιαβάλλεσθαι] Eadem invidia, eodemque odio, quo ipsi apud cives a se crudeliter vexatos ardebant, conflagrare, eorumque, qui alias amici vobis futuri fuissent, animos erga vos exulceruri. REISK.

Ὅτι ὑπὸ] Si omnia ad amussim inter se respondere debent, prodit insequens τῶν hic inserendum esse τόθ' (id est τότε). verum nil est cur autumemus Lysiam tam misere diligentem verborum libripendum fuisse. Satis indicat imperfectum ἤρχεσθε tempus præteritum. Sed ais, satis indicat πολιτεύεσθε tempus præsens, ut addi τῶν nihil opus esset. cur ergo addidit? haud habeo, quod respondeam. IDEM.

Πονηροτέρων] Malim cum Reiskio πονηροτάτων. AUGER.

Ὑμετέρας] Sensus postulat: οὓς οὗτοι φύλακας τῆς ἑαυτῶν ἀρχῆς, καὶ τῆς ὑμετέρας δουλείας — κατέστησαν. TAYLOR.

λείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. καὶ πρὸς ὑμᾶς μὲν,
ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω. ὅσοι δ' ἐκ [1]Πει-
ραιῶς ἐστὲ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολ- 444
λὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι οὐχ ὑπὸ τῶν πο-
λεμίων ἀλλ' ὑπὸ τούτων, εἰρήνης οὔσης, ἀφῃρέθητε τὰ
ὅπλα· ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν
ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν
πόλεων [2]ἐζητοῦντο. ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ ὅτ'
ἐφεύγετε, ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν ἃ πε-
πόνθατε ὑπ' αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς τοὺς δ' ἐκ
τῶν ἱερῶν συναρπάζοντες βιαίως [3]ἀπέκτειναν, τοὺς δὲ ἀπὸ
τέκνων καὶ γονέων καὶ γυναικῶν [4]ἀφελόντες φονέας αὐτῶν
ἠνάγκασαν γενέσθαι, καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν
τυχεῖν, ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς
παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον,
πολλαχοῦ κινδυνεύσαντες καὶ εἰς πολλὰς πόλεις πλανη-
θέντες καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν
ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας κα-
ταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων ἦλθετε
εἰς τὸν Πειραιᾶ. πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρ-
ξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι τοὺς μὲν ἠλευθερώσατε,
τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε
καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε, μὴ 445
πάθητε τοιαῦτα οἷα καὶ πρότερον, καὶ οὔτ' ἂν ἱερὰ οὔτε
δῶμοι ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλη-
σαν, ἃ καὶ τοῖς ἀδικοῦσι [5]σωτήρια γίνεται· οἱ δὲ παῖδες
ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο, οἱ δ'
ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον, ἐρημίᾳ
τῶν ἐπικουρησόντων.

ις'. Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέ-
γειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν· οὐδὲ

[1] Πειραιώς A. [2] ἐζητοῦντο T. [3] ἀπέκτανον A. [4] ἀφείλοντες R.
[5] σωτηρία T. A.

Lege: τῆς σφετέρας ἀρχῆς. *custodes imperii* SUI, *vestræ vero servitutis, constituerunt.* Ita supra, τῶν σφετέρων ἁμαρτημάτων, *peccatorum suorum.* Intelligit vero Lacedæmonios. Vide Orat. XIII. MARKLAND. et *in Edit. min.* TAYLOR. Dedi ad mentem Marklandi σφετέρας pro vulgari ὑμετέρας. opponuntur enim inter se *ipsorum* (XXX tyrannorum) *dominatio* et *vestra servitus.* REISK.

Ὑμᾶς] Subaudi τοὺς ἐξ ἄστεως. IDEM.

Ἐζητοῦντο] Π. ἐξητοῦντο. H. STEPHAN. CONT.

Ἀφελόντες] Melius forsan legeretur ἀφέλκοντες. AUGER.

Τοὺς δ'] Num leg. αὐτοὺς δέ. *vosmet ipsos*

γὰρ ἑνὸς κατηγόρου οὐδὲ δυοῖν ἔργον ἐστὶν, ἀλλὰ πολλῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας [1][οὐδὲν] ἐλλέλειπται ὑπὲρ τῶν
446 ἱερῶν, ἃ οὗτοι τὰ μὲν ἀπέδοντο τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως ἣν μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε. 30
οἶμαι δ' αὐτοὺς [2]ἡμῶν τε ἀκροᾶσθαι καὶ ὑμᾶς [3]εἴσεσθαι τὴν ψῆφον φέροντας, ἡγουμένους, ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι, ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας [4]πεποιημένους.

447 Παύσομαι κατηγορῶν. ἀκηκόατε, ἑωράκατε, πεπόνθατε, ἔχετε. δικάζετε.

[1] οὐδὲν om. T. uncos om. R. A. [2] ὑμῶν T. R. [3] εἴσεσθαι τοὺς τὴν T. A. [4] πεποιημένους φανήσεσθαι. παύσομαι A.

autem in patriam reduxistis. Reisk.

Ἐλλέλειπται] Οὐδὲν ἐλλέλειπται. Canter. Nescio quo animo. Taylor. Sensus videtur esse: *Verumtamen, studium meum non defuit pro rebus sacris dicere:* vox enim λέγειν vel εἰπεῖν sententiæ adjicienda est. Idem fere dicit, quod Orat. XIV. ad fin. ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα. *ego quidem, quam optime potui, accusatoris officio functus sum.* Scribi forsan potest: ὅμως δὲ, τὸ τῆς ἐμῆς προθυμίας οὐ λέλειπται· Attice idem, quod ἡ ἐμὴ προθυμία: ut τὸ τῆς αἰτίας, pro ἡ αἰτία, apud Lucianum Tyrannicid. p. 700. ubi vulgo male legitur τὸ τῆς ἀδείας. Sic τὰ τῆς μανίας, et τὰ τῆς ὀργῆς, Idem p. 708. et τὰ τῆς ὀργῆς ὑμῶν, pro ἡ ὀργὴ, Thucydides lib. II. segm. 60. τὰ τῶν πόλεων, et τὸ τῆς τύχης, pro αἱ πόλεις, et ἡ τύχη, apud Eundem. Legi quoque potest: ὥστε τῆς ἐμῆς προθυμίας ἐλλέλειπται· *adeo ut voluntas mea non sufficiat dicere pro rebus sacris* etc. Markland. Inter προθυμίας et ἐλλέλειπται interposui οὐδέν. *ego studium contentionemque meam haud passus sum desiderari.* Reisk.

Τὰ μὲν ἀπέδοντο] Interpres videtur legisse ἀπεδύοντο. vertit enim *spoliarunt.* Sed nihil muta. intelligit enim Orator *vasa, donaria,* et cæteras *res sacras* in Templis repositas, quas Illi *vendiderunt* surreptas. τὰ ἱερὰ κλέπτειν vocat hoc Xenophon Hellen. I. in oratione Euryptolemi: et ἐξ ἱερῶν κλέπτειν, Orat. de Agesil. p. 672. Markland. Venduntur templa multis referta pretiosisque donariis et vasis argenteis aureisque, ei, cui potestatem facimus ea templa spoliandi. Reisk.

Ἀκροᾶσθαι] Forte, ἀκροάσεσθαι, *audituros:* ut εἴσεσθαι. Nisi εἴσεσθαι sumendum sit in significatione Temporis Præsentis. Markland.

Ὅσοι δ' ἄν] Pro ἂν malim h. l. αὖ. Reisk.

Τιμωρίας πεποιημένους] Videtur φανήσεσθαι interponendum. Idem.

Παύσομαι] (Sic Ald.) Παύομαι. Cont.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΑΓΟΡΑΤΟΥ

ΕΝΔΕΙΞΕΩΣ.

ΥΠΟΘΕΣΙΣ.

Agoratus, homo nequam, sub triginta virali dominatione multa nefaria commisit, eorum tyrannidis satelles atque administer. Dionysodorum maxime, aotoris affinem, aliosque de rep. bene meritos cives delatione sua interfecit. Postulatur cædis, rep. redintegrata. Causa est Ἐνδείξεως, quam inter alios optime explicat Pollux VIII. 6.

Pag. ed. H.Steph. Pag. ed. Reisk.

129. 38 ἀ. ΠΡΟΣΗΚΕΙ μὲν, ὦ ἄνδρες δικασταὶ, πᾶσιν ὑμῖν τι- 447
μωρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον εὖνοι ὄντες τῷ πλήθει
τῷ ὑμετέρῳ· προσήκει δὲ καὶ μοὶ οὐχ ἥκιστα· κηδεστὴς γάρ
μοι ἦν Διονυσόδωρος καὶ ἀνεψιός. τυγχάνει οὖν μοι ἡ αὐτὴ
ἔχθρα πρὸς Ἀγόρατον τουτονὶ καὶ τῷ πλήθει τῷ ὑμετέρῳ
ὑπάρχουσα· ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ
130. 1 εἰκότως μισεῖται, ὑπό τε ὑμῶν, ἂν θεὸς θέλῃ, δικαίως [1] τι- 448
μωρηθήσεται. Διονυσόδωρον γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν καὶ
ἑτέρους πολλοὺς, ὧν δὴ τὰ ὀνόματα ἀκούσεσθε, ἄνδρας ὄντας
ἀγαθοὺς περὶ τὸ πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν Τριάκοντα
ἀπέκτεινε, μηνυτὴς κατ' ἐκείνων γενόμενος. ποιήσας δὲ
ταῦτα ἐμὲ μὲν ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων μεγάλα
5 ἐζημίωσε· τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀπο-
στερήσας οὐ μικρὰ, ὡς ἐγὼ νομίζω, ἔβλαψεν. ἐγὼ οὖν, ὦ
ἄνδρες δικασταὶ, δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ ἐμοὶ

[1] τιμωρήσεται T.

ΑΓΟΡΑΤΟΥ] Nomen est servile, significans τὸν ἠγορασμένον ἐκ τῆς ἀγορᾶς, in *foro emptum, de catasta.* Reisk.

Ἀπέκτασαν] (Sic vulg.) Ejeci, quoniam est semibarbarum. Th. Magister: Ἀπέκτονε κάλλιον ἢ ἀπέκτεινα· ἀπέκτανον δὲ ἀδόκιμον πάντη. Deinde autem ἀπέκτασαν praetuli, eodem licet refragante Magistro, cujus vadimonio nuper fruebar, tum quia est ipsissima lectio Cod. Coisl. tum quia est verbum Lysiæ familiare, idque sæpe in hac oratione. Ἐκείνοι μὲν οὖν δικαστήριον παρασκευάσαντες — ἀπέκτεινάν τε τῇ προφάσει ταύτῃ. Deinde: Οὓς σὺ Ἀγόρατε — ἀπέκτεινας. Et paucis interjectis: οὔτ' ἂν ἰκὼν οὔτε ἄλλον τοσούτους Ἀθηναίους ἀπέκτεινας. Et alibi sæpissime. Taylor.

καὶ ὑμῖν ἅπασι τιμωρεῖσθαι καθ' ὅσον ἕκαστος δύναται· καὶ ποιοῦσι ταῦτα νομίζω ἡμῖν καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ' ὑμᾶς, ὦ ἄνδρες
449 Ἀθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι, ἵν' εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη καὶ ὑφ' ὅτου, ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' Ἀγοράτου ἀπέθανον, καὶ [1] δή ὅ τι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν· ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες ἥδιον καὶ ὁσιώτερον Ἀγοράτου τουτουὶ καταψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι.

Β'. Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν καὶ
450 τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα [2] ἐγεγένητο, οὐ πολλῷ χρόνῳ ὕστερον εἴ τε νῆες αἱ Λακεδαιμονίων ἐπὶ τὸν Πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς Λακεδαιμονίους περὶ τῆς εἰρήνης [3] ἐγίγνοντο. ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι ἐπεβούλευον, νομίζοντες κάλλιστον καιρὸν εἰληφέναι καὶ [4] μάλιστα ἐν τῷ τότε χρόνῳ τὰ πράγματα, ὡς αὐτοὶ ἠβούλοντο, [5] καταστήσασθαι. ἠγοῦντο δὲ οὐδὲν ἄλλο σφίσιν ἐμποδὼν εἶναι ἢ τοὺς τοῦ δήμου προεστηκότας καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. τούτους οὖν ἐβούλοντο ἀμωσγέπως

[1] διότι in Edit. 4. δὴ ὅ,τι in Edit. 8. T.
[2] ἠγίγνετο T. R. A.
[3] ἠγίνετο T. A.
[4] μάλιστα ἂν ἐν A.
[5] καταστήσασθαι in Edit. 8. T.

Νομίζω — ἂν γίγνεσθαι] Pro γενέσθαι. Sic Orat. VII. ἂν ζημιοῦσθαι pro ζημιωθέντας, Orat. XXVII. ἂν λαμβάνειν pro λήψεσθαι. Et ita ubique, et apud omnes. Diog. Laertius lib. IV. in Bione, facete, ut exscribere sit operæ pretium: ἔλεγε τοὺς (f. τὰς) ἐν ᾅδου μᾶλλον ἂν κολάζεσθαι, εἰ ὁλοκλήρους καὶ μὴ τετρημένους (f. τετρημένας) ἀγγείους ὑδροφόρουν· pro κολασθήσεσθαι. *dicebat* Bion, *Danaïdas apud Inferos majores cruciatus subituras, si integris potius quam perforatis vasis aquam ferrent.* Paullo ante lege, ὦ ἄνδρες δικασταί. vulgo deest Interjectio. MARKLAND. ἂν γίγνεσθαι idem valet ac γενέσθαι. AUCTOR.

Καὶ δὴ, κ.τ.λ.] Legerem: καὶ δὲ ὅτι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. Ald. habuit ἐπέσκηψεν. Quod nondum omnes fere ante me sustulere. TAYLOR. Lego· καὶ δὲ ὅ,τι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. *et præterea quid jam morituri mandarunt:* nempe, pueris Agoratum; et ex multis infra locis patet. sic εἴ τι ἐπισκήπτοι, *num quid mandare vellet*, ap. Diog. Laert. Theophrasto. Mox, pro καταστήσασθαι legendum videtur καταστήσεσθαι. MARKLAND.

Ἐπειδὴ γὰρ κ.τ.λ.] In pugna scilicet ad Ægospotamos, ubi universa fere classe amissa Athenienses a Lysandro victi sunt, et res eorum omnino depressæ. PALMER.

Ἐγεγένητο] Ἐγένητο. CONT.

Νομίζοντες —] Νομίζοντες κάλλιστον καιρὸν εἰληφέναι ἐν τῷ τότε χρόνῳ· καὶ μάλιστα τὰ πράγματα, ὡς etc. WAKEFIELD.

Μάλιστα] Post μάλιστα videtur ἐπιτίθεσθαι deesse, quo admisso καταστήσασθαι (in aoristo) poterit probari et servari. REISK.

Ἄλλως γέ πως] (Sic vulg.) Videtur legendum ἀμωσγέπως. Hesych. ἀμωσγέ-

ἐκπεδὼν ποιήσασθαι, ἵνα ῥαδίως ἃ βούλοιντο διαπράττοιντο. πρῶτον μὲν οὖν Κλεοφῶντι ἐπέθεντο ἐκ τρόπου τοιούτου. ὅτε γὰρ ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες ἔλεγον ἐφ' οἷς ἕτοιμοι εἶεν τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς τε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα. 451

γ'. Μετὰ δὲ ταῦτα Θηραμένης, ἐπιβουλεύων τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει ὅτι, ἐὰν αὐτὸν ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, [1] ποιήσει ὥστε μήτε τῶν τειχῶν διαλεῖν μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν· εἴσεσθε δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε, οὐ νομίζοντες εὔνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα [2] ἔμεινεν ἐκεῖ πολὺν χρόνον, καταλιπὼν ὑμᾶς πολιορκουμένους, εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον καὶ διὰ τὸν πόλεμον [3][καὶ [4]τὰ κακὰ] τοὺς [5]πολλοὺς τῶν ἐπιτη- 452

[1] ποιήσειν T. [2] ἤμεινεν T. R. A. [3] unos om. T. R. A. [4] τὰ τούτου κακὰ A. [5] πολίτας in Edit. 8. T.

πως, ἐκπεσθήσονται, καὶ ἐκ παντὸς τρόπου. Etym. M. Ἀμασγάπας, ἐκπεσθήσονται, παθ' ὑπτιασῶν τρόπον. ἵνοι τὸ μυτρίως. Πλάτων τὸ ἐκ παντὸς τρόπου, ἐνί γέ τινι. ἔστι δὲ ῥητορικὴ ἡ λέξις. Atque hinc quoque emendandus Harpocratio. Ἀμασγάπας, ἀντὶ τοῦ ἐνί γέ τινι τρόπῳ. Ἀυσίας ἐν τῷ κατ' Ἀριστοφάνους ἐνδείξεως, εἰ γήσιος. Ubi reponendum, si forte ad hunc locum respexit, Ἀγορᾴου. V. Meurs. Biblioth. Attic. Taylor. Scribe, ἀμασγάπας, quoquo modo, ἐκπεσθήσονται καὶ ἐκ παντὸς τρόπου, ut hanc vocem explicat Hesychius. Luciani Scholiastes p. 40. t. I. ἀμηγάπα· ἀντὶ τοῦ, κατά τινα τρόπον. Vide Harpocrationem, qui Lysiam citat hac voce alibi utentem sensu paullum diverso, pro ἐνί γέ τινι τρόπῳ, uno aliquo modo. Markland.

Κλεοφῶντι] Plura de Cleophonte habemus infra in orat. c. Nicomach. Taylor.

Ἐπιστέων] Ad ἐπιστέων sub. μέρος, ex utraque parte. Auger.

Ποιήσειν] Π. σιωπήσει. ἡ παρίλλει τὸ ὅτι μετὰ τὸ λέγει. H. Stephan.

Διαλεῖν] Subaudi primum δεῖν, quod solet in talibus infinitivis omitti, deinde μηδὲν, quod in proximo situm est ambobus infinitivis, διαλεῖν et ἐλαττῶσαι, communem. Sitne denique ante μηδὲν etiam μηδὲν addendum, id in medio relinquam. Reisk. Subaudi δεῖν et μηδέν. Auger.

Εἰδὼς] Ὠδὼς Ald. Unde δὴ ὡς, Scalig. Taylor. εἰδώς. Cont.

Ἐν ἀπορίᾳ ἐχόμενον] Alii dicere solent ἀπορίᾳ συνεχόμ. aut κατεχόμ. Nescio tamen, an istiusmodi locutio Lysiae, ut ipsi propria, relinquenda sit. Reisk.

Τὰ κατὰ] Videtur τούτου interponendum. ejusque, belli puta, mala. Idem.

Τοὺς πολλοὺς] Ferri forte potest, ut intelligatur vulgus, major pars. Forte tamen τοὺς πολίτας. Markland. et in Edit. min. Taylor.

δείων ἐνδεεῖς ὄντας, νομίζων, εἰ διαθείη ὑμᾶς ἀπόρως, ὥσπερ διέθηκεν, ἀσμένως ὁτιοιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. οἱ δ' ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρόφασιν μὲν ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα [1] ἀναπαυσόμενος, τὸ δ' ἀληθὲς ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ.

453 δ'. Θηραμένης δὲ ὕστερον ἀφικνεῖται ἐκ Λακεδαίμονος. προσιόντες δ' αὐτῷ τῶν τε [2] στρατηγῶν τινὲς καὶ τῶν [3] ταξιάρχων, ὧν ἦν Στρομβιχίδης καὶ Διονυσόδωρος, καὶ ἄλλοι 131. 1
τινὲς τῶν πολιτῶν εὐνοοῦντες ὑμῖν, ὡς γ' ἐδήλωσαν ὕστερον, ἠγανάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν ἡμεῖς ἔργῳ μαθόντες ἔγνωμεν· πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν, καὶ αὐτοὶ ὑπὸ τῶν Τριάκοντα ἐξηλάθημεν. ἦν γὰρ, ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν, ὅλα τὰ μακρὰ τείχη διασκάψαι, ἀντὶ δὲ τοῦ ἄλλο τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι, τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ
454 τεῖχος περιελεῖν. ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες [4] τῷ μὲν ὀνόματι εἰρήνην λεγομένην, τῷ δ' ἔργῳ τὴν δημοκρατίαν καταλυομένην, οὐκ [5] ἔφασαν ἐπιτρέψαι ταῦτα γενέσθαι, οὐκ ἐλε-

[1] ἀναπαυσάμενος in Edit. 8. T.
[2] στρατιωτῶν in Edit. 4. T.
[3] ταξιαρχῶν T. R. A.
[4] ὀνόματι μὲν T. R.
[5] ἔφασαν ἂν ἐπιτρέψαι A.

Ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν] Rarior hæc dictio, sed nullo modo improbanda, idem dicit atque usitatior: ἐπιβουλεύοντες τῇ καταλύσει τῆς δημοκρατίας. quasi dixisset: βουλευόμενοι μετ' ἐπιβουλῆς καὶ κακοτεχνίας καταλῦσαι τὴν δημοκρατίαν. Reisk.

Ἀναπαυσόμενος] Vel ἀναπαυσάμενος. Markland. Bene videtur vulgata habere. quo respiraret aliquantisper, in urbe, domi suæ manens, atque requiesceret a laboribus militiæ. Reisk.

Ἐν τῇ προφάσει] Alii aut plane omittunt in ejusmodi loco præpositionem, aut ἐπὶ pro ἐν usurpant. Neque tamen ideo damnare ausim ἐν, bene gnarus, ut cuique alii auctori, ita Lysiæ quoque suum esse proprium loquendi morem, eumque ipsi relinquendum. Idem.

Στρατιωτῶν] Potius στρατηγῶν, et communiter per totam hanc orationem, κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν. Modo τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. Taylor. Lege, στρατηγῶν: ut mox hæ voces conjunguntur: μισητὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων γενέσθαι. iterum infra: ἵστατο τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων. et statim: περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων. et ita rursum inferius: in quibus omnibus locis de iisdem viris sermo fit. Markland.

Ἔγνωμεν] Deesse suspicor post ἔγνωμεν. Taylor.

Ἐπιτρέψαι] Π. ἐπιτρέψων. H. Stephan. Locum consimilem, qui infra occurrit, idem neglexit. Si tamen hoc sit negligenter agere. Ταῦτα ἐκεῖνα — αἰσθόμενοι οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην γενέσθαι.

οὖντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τείχη, εἰ πεσεῖται, οὐδὲ κη-
δόμενοι τῶν νηῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται —
οὐδὲν γὰρ αὐτοῖς τούτων πλεῖον ἢ ὑμῶν ἑκάστῳ προσῆκεν—,
ἀλλ' αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος
καταλυθησόμενον, οὐδ' — ὡς φασί τινες — οὐκ ἐπιθυμοῦν-
τες εἰρήνην γίγνεσθαι, ἀλλὰ βουλόμενοι βελτίω ταύτης
[1] εἰρήνην τῷ δήμῳ τῶν Ἀθηναίων ποιήσασθαι. ἐνόμιζον δὲ 455
δυνήσεσθαι. καὶ ἔπραξαν ἂν ταῦτα, εἰ μὴ ὑπ' Ἀγοράτου
τουτουὶ ἀπώλοντο. γνοὺς δὲ ταῦτα θηραμένης καὶ οἱ ἄλλοι
οἱ ἐπιβουλεύοντες ὑμῖν, ὅτι εἰσί τινες οἳ κωλύσουσι τὸν δῆ-
μον καταλυθῆναι καὶ ἐναντιώσονται περὶ τῆς ἐλευθερίας,
εἵλοντο, πρὶν τὴν ἐκκλησίαν τὴν περὶ τῆς εἰρήνης γενέσθαι,
[2] τούτους πρῶτον εἰς διαβολὰς καὶ κινδύνους καταστῆσαι,
ἵνα μηδεὶς [3] ἐκεῖ ὑπὲρ τοῦ ὑμετέρου πλήθους [4] ἀντιλέγοι.

ε. Ἐπιβουλὴν οὖν τοιαύτην ἐπιβουλεύουσι. πείθουσι γὰρ
Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν
[5] ταξιάρχων γενέσθαι, οὐ ξυνειδότα ἐκείνοις, ὦ ἄνδρες
Ἀθηναῖοι, οὐδέν — οὐ γὰρ δήπου ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν
καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων [6] πράτ-
τοντες Ἀγόρατον ὡς πιστὸν καὶ εὔνουν, δοῦλον καὶ ἐκ δού- 456
λων ὄντα, παρεκάλεσαν —, ἀλλ' ἐδόκει αὐτοῖς οὗτος ἐπιτη-
δειος εἶναι μηνυτής. ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν

[1] εἰρήνης T. [2] τοῦτον T. [3] ἐκείνων T. [4] ἀντιλέγῃ T. R. A.
[5] ταξιάρχων T. R. [6] [πράττοντες] R.

Taylor. Miror eum præteriisse alterum locum infra, ubi eadem fere verba et de eadem re, οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην ποιήσασθαι. et mutandum esse aliquid in ambobus his locis non dubito (non enim credo ἐπιτρέψαι, per se positum, idem valere, quod ἐπιτρέψειν): sed mallem repetitam esse syllabam præcedentem, οὐκ ἔφασαν ἂν ἐπιτρέψαι: hoc enim usitatissimum est. ita supra, ἐθελῆσαι ἂν pro ἐθελήσειν, et infra, ἂν σωῆσαι pro σωήσειν: et alibi centies, tum apud Nostrum, tum omnes alios. Scio istud Orat. XXV. τὴν πολιτείαν παραμεῖναι, pro παραμενεῖν. Sed et ibi pariter exoidisse ἂν opinor. Scio quoque istud Thucydidis, V. 22. οὐκ ἔφασαν δίξασθαι. sed scribendum puto δίξεσθαι, vel ἂν δίξασθαι. Markland.

Εἰρήνης] Εἰρήνην. Cont.

Ποιήσασθαι] Vel accipe sensu passivo, *fieri*; vel subaudi Λακεδαιμονίους. Auger.

Ἐναντιώσονται περὶ τῆς ἐλευθερίας] Forte, ὑπέρ. Sed utrovis modo videtur recte dici posse hoc loco. Markland.

Τοῦτον — ἐκείνων] Locus idcirco flagitat τούτους. Sed istud ἐκείνων est sublestæ fidei. Codd. enim Steph. et Coisl. exhibent potiorem lectionem: ἵνα μηδεὶς ἐκεῖ. Taylor. Lege, τούτους. patet ex connexu Orationis. Markland.

Ἐκεῖ] *Ibi*, in concione puta. sic dedi, pro vulgari ἐκείνων. Reisk.

Οὐ γὰρ δήπου] Hunc locum laudat Priscian. l. 18. minima cum varietate lectionis. Taylor.

Πράττοντες] Ut supervacaneum et perperam e proximo πραγμάτων iteratum, uncis inclusi. Sin tamen existimetur in eo non nihil exquisitius latere, suspicer latere περιφανεῖς. Reisk. Non male utrumque, sed potest servari πρέττοντες. Auger.

καὶ μὴ ἐκόντα μηνύειν, ὅπως [1] πιστότερα ὑμῖν ὑποφαίνοιτο. ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ τῶν πεπραγμένων αἰσθήσεσθαι. ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν τὴν πρὸ τῶν Τριάκοντα βουλεύουσαν Θεόκριτον τὸν τοῦ Ἐλαφοστίκτου καλούμενον· ὁ δὲ Θεόκριτος οὗτος ἑταῖρος ἦν τῷ Ἀγοράτῳ καὶ ἐπιτήδειος. ἡ δὲ βουλὴ [2] ἡ πρὸ τῶν Τριάκοντα βουλεύ-
457 ουσα διέφθαρτο καὶ ὀλιγαρχίας ἐπεθύμει, ὡς ἴστε, μάλιστα. τεκμήριον δέ· οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν [3] ὑστεραίαν βουλὴν [4][τὴν] ἐπὶ τῶν Τριάκοντα ἐβούλευον. τοῦ δ' ἕνεκα ταῦτα λέγω ὑμῖν; ἵν' εἰδῆτε ὅτι τὰ ψηφί-
458 σματα [5][τὰ] ἐξ ἐκείνης τῆς βουλῆς οὐκέτι εὐνοίᾳ τῇ ὑμετέρᾳ ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα ἐλέγετο, καὶ ὡς [6] τοιούτοις οὖσιν εὐτοῖς τὸν νοῦν [7] μὴ [8] προσ-

[1] πιστότερος A. [2] ἡ om. T. [3] ἀμείνω T.
[4] τὴν om. T. uncos om. R. A. [5] [τὰ] om. T. R. A.
[6] τοιοῦτοι οὐκ οἶδ' οἷον T. [7] μὴ om. T. A. [8] δοκοῦν R. [9] προσέχοντι T. A.

Ὅπως πιστότερα ὑμῖν ὑποφαίνοιτο] Puto legendum πιστότερος, *fide dignior*: scil. Agoratus. Pro, πρὸς τῶν τριάκοντα, Stephanus notat in MS. esse, πρὸ τῶν τριάκοντα: quod verissimum puto: et patet ex sequentibus. MARKLAND. Vel potius post ὑμῖν deest τὰ μηνυθέντα. REISK.

Ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν — ὃς ἴστε, μάλιστα] Magnopere demiror fastidiosam illam repetitionem in scriptore brevitatis interdum extra modum studiose a nemine fuisse animadversam. Alterutra senatus descriptio prorsus vacat et sine ullo perspicuitatis damno abesse potest magno cum elegantiæ lucro, quas repetitiones ejusmodi inanes respuit; altera autem senatus descriptio necessaria erat ad oppositionem τῆς βουλῆς τῆς ἐπὶ τῶν τριάκοντα v. 9. SLUITER.

Πρὸς] (Sic vulg.) Lege πρό. Postrema sc. βουλὴ, quæ habita erat ante triginta virorum dominatum. Et hæc lectio confirmatur a Codd. Steph. et Coisl. TAYLOR. πρό. CONT.

Καλούμενον] Patre incerto et quasi *vulgo quæsito*. Ita Æsch. c. Timarch. Τίς τῶν πολιτῶν οὐκ ἐδυσχέρανε Κηφισίδαιον τὸν τοῦ Μόλωνος καλούμενον — ἢ Μισγόλαν τὸν τοῦ μαγείρου καλούμενον; TAYLOR.

Ἴστε, μάλιστα] Velim πάντες interponi. *omnes præsertim*. nam alias haud apparet, quæ vis sit illi μάλιστα h. l. REISK.

Ὑμετέραν] Est vox nihili. Lego ὑστεραίαν vel ὑστεραῖαν βουλήν. Demosth. π. παραπρεσβ. Ὁ δὲ τοῦτ' εἶναι τῇ πρωτεραίᾳ (sc. βουλῇ) πάντων ἀκυρώτατον ἡγεῖτο εἰς τὴν ὑστεραίαν, ἐν ᾗ τὸν αὐτὸν ἦν κυροῦσθαι κ. τ. λ. *Alio senatu* dixit Plin. V. ep. 4. Τῇ ὑστέρῃ Ὀλυμπιάδι Herodot. Erat. 103. i. e. *proxima Olympiade*. Videbit lector duos locos, Codd. ope alterum, alterum sollertia emendatos sibique invicem lucem affundentes. ἡ βουλὴ ἡ πρὸ τῶν τριάκοντα. et deinde: οἱ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστεραίαν βουλὴν ἐπὶ τῶν τριάκοντα ἐβούλευον. TAYLOR. Ex sensu facile restituitur hic locus, τῇ ὑστέρᾳ βουλῇ τῇ ἐπὶ etc. Distinguit inter concilium prius, quod erat *ante* XXX Viros, et *posterius* istud, quod eorum tempore ἐβούλευον. Infra: εἰς τὴν βουλὴν τὴν ἐπὶ τῶν τριάκοντα. et rursus: ἡ βουλὴ ἡ ἐπὶ τῶν τριάκοντα βουλεύουσα. MARKLAND.

Τὰ ψηφίσματα — ἐλέγετο] Forte ἐγίνετο. Infra: ἐστιᾶν δὲ τοῦτο τὸ ψήφισμα ἐγίνετο. Xenophon. Cyropæd. II. ἔσται τῶν ἀμοιβῶν γενέσθαι τοῦτο τὸ ψήφισμα. Demosthenes contra Evergi τούτου τοίνυν τοῦ ψηφίσματος γεγενημένου. Apud eundem tamen occurrit τὸ ψήφισμα εἶχεν, Orat. contra Aristocr., et alibi ψήφισμα εἶναι, contra Timocratem. MARKLAND. *F. ἐγίνετο. In Edit. min.* TAYLOR. Videtur ἐλέγετο servari posse. Psephismata quique præscribebat auctor cum nomine suo εἶπε. ut c. c. Κτησιφῶν — εἶπε. REISK.

Καὶ ὡς τοιούτοις οὖσι οὖσιν αὐτοῖς τὸν νοῦν προσέχοντι] Vel delendum videtur οὖσι, vel pro οὖσι οὖσιν scribendum διοῦσιν, positis ὑποστιγμῇ post ἐγίνετο. Forte etiam scripsit Lysias προσέχοντι. MARKLAND. οὖσι junge cum προσέχοντι. Accipe τοιούτοις οὖσιν αὐτοῖς in neutro genere. AUGER.

ἔχητε. εἰσελθὼν δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀπορρήτῳ Θεόκριτος μηνύει ὅτι συλλέγονταί τινες ἐναντιωσόμενοι τοῖς
35 τότε καθισταμένοις πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη αὐτῶν ἐρεῖν καθ' ἕκαστον· ὅρκους τε γὰρ ὁμωμοκέναι τοὺς αὐτοὺς ἐκείνοις, καὶ εἶναι ἑτέρους οἳ ἐροῦσι τὰ ὀνόματα, αὐτὸς δὲ οὐκ ἂν ποτε ποιῆσαι [1] ταῦτα. καίτοι εἰ μὴ ἐπ παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ βουλὴ εἰ-
48 [2] πεῖν τὰ ὀνόματα Θεόκριτον καὶ μὴ ἀνώνυμον τὴν μήνυσιν [2] ποιήσασθαι; νυνὶ [3] δὲ τοῦτο τὸ ψήφισμα [4] ἐψηφίσατο. 459

[5]ΨΗΦΙΣΜΑ.

ς'. Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κατέρχονται ἐπὶ τὸν Ἀγόρατον εἰς τὸν Πειραιᾶ οἱ διαιρεθέντες τῶν βουλευτῶν, καὶ περιτυχόντες αὐτῷ ἐν ἀγορᾷ ἐζήτουν ἄγειν. [6] παραγενόμενος δὲ Νικίας καὶ Νικομένης καὶ ἄλλοι τινές, ὁρῶντες τὰ πράγματα οὐχ οἷα βέλτιστα ἐν τῇ πόλει
132.1 ὄντα, ἄγειν μὲν τὸν Ἀγόρατον οὐκ ἔφασαν [7] προήσεσθαι, ἀφηροῦντο δὲ καὶ ἠγγυῶντο καὶ ὡμολόγουν παρέξειν εἰς τὴν βουλήν. γραψάμενοι δὲ οἱ βουλευταὶ τὰ ὀνόματα τῶν ἐγ- 460
γυωμένων καὶ κωλυόντων, ἀπιόντες ᾤχοντο εἰς [8] τὸ ἄστυ. ὁ δὲ Ἀγόρατος καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν

[1] τοῦτο A. [2] post ποιήσασθαι asterisci, lacunæ notæ, habent T. R.
[3] δὲ om. T. R. [4] ψηφίσασθαι T. R. [5] ΨΗΦΙΣΜΑ om. T. R.
[6] παραγινόμενος T. [7] προσήσεσθαι T. [8] τὸ om. T. R. A.

Ταύτην τὴν βουλὴν] Intellige de senatu ante trigintaviros constituto. IDEM.

Καθισταμένοις] Velim legi κατασταθεῖσι, ut supra. IDEM.

Ποιῆσαι ταῦτα] Melius τοῦτο. Mox, post ψηφίσασθαι videtur excidisse vox ΨΗΦΙΣΜΑ, ut bis alibi in hac Oratione. MARKLAND.

Ἐμηνύετο] Malim in activo ἐμήνυε. REISK.

Ποιήσασθαι] Abest πολύ. Ald. In Cod. tamen Coisl. continenter hæc sunt scripta, quasi nulla intercesserit lacuna. Deinde habet Cod. Steph. νυνὶ δὲ τοῦτο τὸ ψήφισμα ψηφίσεται. Atque ita Coisl. nisi quod non legatur δὲ post νυνί. TAYLOR. Nihil deesse suadet consensus codicum Coisl. et Reisar. in quibus illa continue exarata sunt; et forsitan in Vindob. quoque. Deinde leg. est: νυνὶ δὲ τοῦτο τὸ ψήφισμα ἐψηφίσατο. ΨΗΦΙΣΜΑ. Ἐπειδὴ τοίνυν. Ad ἐψηφίσατο subauditur ἡ βουλὴ e continente. REISK.

Διαιρεθέντες] Malim simplex αἱρεθέντες: nam alterum illud compositum in hac re haud est usitatum. ΔΙ facile potuit ex ΑΙ ensasi. REISK. Intelligo διαιρεθέντες, sorte electi. AUGER.

Ἐν ἀγορᾷ] Lego: ἐν τῇ ἀγορᾷ. REISK. Reiskio assentitur Augerus.

Οἷα] Bene si habet, aut usurpatum est raro modo pro οἷς, aut leg. est: οὐχ οἷα εἰ βέλτιστα ἐν τῇ πόλει ἐβούλοντο, ὄντα. REISK. *Non qualia optime, pro non optime* simpliciter, modo apud scriptores Græcos usitato. AUGER.

Ἄγειν] Idem est atque ἄγετε ἄγειν, vel πρὶν τὸ ἄγειν. REISK.

Προήσεσθαι] Προήσεσθαι. CONT.

Κωλυόντων, ἀπιόντες] Videtur ἄγειν interponendum. REISK. Ad κωλυόντων subaudi ἄγειν, quod addi velim. AUGER.

Μουνυχιάσιν· ἐπειδὴ δὲ [1] ἐκάθισαν, ἐβουλεύοντο τί χρὴ ποιεῖν. ἐδόκει οὖν τοῖς ἐγγυηταῖς καὶ τοῖς ἄλλοις ἅπασιν ἐκποδὼν ποιῆσαι τὸν Ἀγόρατον ὡς τάχιστα. καὶ [2] παρορμίσαντες δύο πλοῖα Μουνυχιάσιν ἐδέοντο αὐτοῦ παντὶ τρόπῳ ἀπελθεῖν Ἀθήνηθεν, καὶ αὐτοὶ ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγματα κατασταίη, λέγοντες ὅτι, εἰ κομισθείη εἰς τὴν Βουλήν, βασανιζόμενος ἴσως ἀναγκασθήσεται ὀνόματα εἰπεῖν Ἀθηναίων, ὧν ἂν [3] ὑποβάλωσιν οἱ βουλόμενοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. ταῦτα ἐκείνων δεομένων, καὶ παρασκευασάντων πλοῖα, καὶ αὐτῶν ἑτοίμων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησε πείθεσθαι αὐτοῖς Ἀγόρατος οὑτοσί. καίτοι, ὦ Ἀγόρατε, εἰ μή τί σοι ἦν παρεσκευασμένον καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι, πῶς οὐκ ἂν ᾤχου, καὶ πλοίων παρεσκευασμένων καὶ τῶν ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν; ἔτι γὰρ οἷόν τέ σοι [4] ἦν, καὶ οὔπω ἡ βουλή σου ἐκράτει. ἀλλὰ μὲν δὴ οὐχ ὁμοιά γέ σοι καὶ ἐκείνοις ὑπῆρχε. πρῶτον μέν γε Ἀθηναῖοι ἦσαν, ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι· ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες ἕτοιμοι ἦσαν συνεκπλεῖν μετὰ σοῦ, ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτελεῖν ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπὸ σοῦ ἀδίκως ἀπολέσθαι.

[1] ἐκίνησαν T. R. ἐκεῖ ἦσαν A. [2] παρορμήσαντες T. [3] ὑποβάλλωσιν T. R. A. [4] ἦν om. T. A.

Ἐκίνησαν] Ἐκάθισαν. SCHOTT. Nos autem jubemus Ἐκεῖ δὲ ἐκεῖ ἦσαν. V. nostræ edit. p. 193. TAYLOR. Propius est ἐκεῖ ἦσαν. Ioan. XII. 9. ὅτι ἐκεῖ ἐστί. Xenophon Hellen. IV. p. 538. ἐκεῖ δὲ ἐκεῖ ἦσαν, ὁ μὲν Ἀνταλκίδας etc. Paulo post: καιόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. Forte, τὴν πόλιν, ut infra, ἐάν τις ὑμᾶς μεγάλα κακὰ ἐργάσηται. MARKLAND. Non dubitassem ἐκεῖ ἦσαν sufficere, nisi adhuc ambigerem, utrum hoc, an ἐκείνη ἦσαν, dedisset Lysias, quod ἐκείνη prorsus idem est atque ἐκεῖ. Potest quoque Lysias existimari ἐκεῖδὴ δὲ κοινῇ ἦσαν dedisse. ut autem una erant. In hac incertitudine lectionis visum fuit satius antiquum vitium servare. REISK.

Παρορμήσαντες] Π. παρορμίσαντες. H. STEPHAN. Auctor sum recipiendi lectionem Steph. et Coisl. παρορμίσαντες. (Nam παρορμίω est ἀμετάβατον.) Quanquam miror Stephanum, vocem, quam restituit, in suo Thesauro non agnovisse. TAYLOR.

Καὶ ἐπίστευες] Tacite a communi repete εἰ μή. quasi scriptum esset: καὶ εἰ μὴ ἐπίστευες. et nisi certus fuisses. tametsi μὴ iteratum utique mallem. REISK.

Ἔτι γὰρ οἷόν τε] Ἔτι γὰρ ἦν οἷόν τε. CONT. Quod potest subaudiri. AUGER.

Ἀλλὰ μὲν δὴ] Imo vero ἀλλὰ γὰρ δὴ — at enim vero. In οὐχ ὁμοία videtur subaudiri τὰ διαφέροντα. non idem tuaque illorumque intererat. aut, non erat tua conditio illorumque pari loco. h. e. major tibi erat necessitas Athenas relinquendi, quam illis; et poteras ab urbe facilius, quam illi, avelli, animoque æquiore desiderium ejus ferre, quæ tibi patria non esset, illis esset. Interim haud celabo lectores conjecturam, cujus olim in mentem venit, speciosam quidem illam, at ego tamen pro vera et certa venditare haud ausim. Ἄλλα δὲ μὰ Δί' οὐχ ὁμοία. REISK.

σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι ὑπομείναντι, ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες. ὥςτ' ἐκ παντὸς τρόπου σοὶ μᾶλλον ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν ᾧ ἐπίστευες. νῦν δὲ ἄκων μὲν προσποιῇ, ἑκὼν δὲ πολλοὺς καὶ ἀγαθοὺς Ἀθηναίων ἀπέκτεινας. [1] ὡς δὲ παρεσκευάσθη ἅπαντα ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ 463
αὐτὸ τὸ ψήφισμα [2] οὕτω τῆς βουλῆς καταμάρτυρήσει.

[3] ΨΗΦΙΣΜΑ.

ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη καὶ ἦλθον οἱ ἐκ τῆς βουλῆς Μουνυχίαζε, ἑκὼν ἀνέστη Ἀγόρατος ἀπὸ τοῦ βωμοῦ· καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι. ἐπειδὴ δὲ εἰς τὴν βουλὴν [4] ἐκομίσθη, ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν [5] ταξιάρχων, ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε

[1] ὥςτε παρ. T. R. [2] σοῦ τὸ R. A. [3] ΜΑΡΤΥΡΕΣ. ΨΗΦΙΣΜΑ. A. [4] ἐκομίσθησαν T. R. A. [5] ταξιαρχῶν T. R.

Ὑπομείναντι] Aut idem valet h. l. compositum cum simplici μείναντι, aut hoc illi est præferendum. REISK.

Συνέφερεν] Adde tacita cogitatione, ὃ καὶ ἐποίησας ἄν, id quod etiam tu facturus eras, nisi —. IDEM.

Ἄκων μὲν προσποιῇ] Bene si habet, subaudiri debet ex insequentibus ἀπεκτεῖναι· verum hoc paullo durius est. quare suspicor μένειν vel μεῖναι aut μενοῦσαι deesse. IDEM. Subaudi ἀπεκτεῖναι. AUGER.

Ὥςτε κ. τ. λ.] Lego: ὡς δὲ παρεσκευάσθη ἅπαντα, ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα τοῦτο (vel αὐτοῦ) τῆς βουλῆς καταμαρτυρήσει. ΜΑΡΤΥΡΕΣ. ΨΗΦΙΣΜΑ. Infra [p. 134. v. 16. ed. Steph.] πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς — καταμαρτυρεῖ. TAYLOR. Totam sententiam ita lego: ὡς δὲ παρεσκευάσθη ἅπαντα, ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα τοῦτο (non οὕτω) τῆς βουλῆς καταμαρτυρήσει. ΜΑΡΤΥΡΕΣ. ΨΗΦΙΣΜΑ. Ἐπειδὴ etc. Vulgo deest ΜΑΡΤΥΡΕΣ; quam tamen vocem præcedentia videntur postulare æque ac ΨΗΦΙΣΜΑ: et solenne est vocem istam omitti a Librariis, ut alibi notavi. MARKLAND. Probo ὡς δὲ, sed pro ἃ legi malim ᾗ, qua ratione ego aio. καὶ μάρτυρές εἰσι, idem est, ac si dixisset τούτῳ καὶ μάρτυρές εἰσιν οἱ καταμαρτυρήσοντες. REISK.

Τὸ ψήφισμα σοῦ τὸ τῆς βουλῆς] Sic dedi de meo, pro vulgari τὸ ψήφισμα οὕτω τῆς βουλῆς. Cohæret σοῦ cum καταμαρτυρήσει. contra te testabitur. Diversum hoc est psephisma, ab illo, quod p. 391. 9. recitatum fuit, similis tamen argumenti. REISK. Vulgata tamen, quoquo modo se res habeat, nonnihil defenditur ex Isæo π. τ. Κίρωνος κλήρ. p. 74. v. 7. ed. Steph. ὃς μοιχὸς ληφθείς, καὶ φανδὴν ὅ τι προσήκει τοὺς τὰ τοιαῦτα ποιοῦντας, οὐδ' ὡς ἀπαλλάττεται τοῦ πράγματος, ὡς οἱ συνειδότες καταμαρτυροῦσι.

Εἰς τὴν βουλὴν ἐκομίσθησαι] Repone, ἐκομίσθη: de Agorato enim solo loquitur. infra: ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτι ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνυχιάσι, σωθῆναι: ita distinguendum. Mox: ἀπόκρισαι δή μοι. Ἐβούλοντο τοίνυν etc. post vocem μοι excidisse Agorati Ἀποκρίσεις ad Accusatoris Quæstiones, post quas pergit Orator ad novam materiam. MARKLAND. et in Edit. min. TAYLOR. Bene habet vulgata, ἐκομίσθησαν, Agoratus puta, et reliqui, qui eum ex ara Minervæ Munychiæ consederant, Strategi puta et Taxiarchi. Sed cur illi non fuga prævertebant periculum, si sibi male metuebant? REISK. Sc. Agoratus et ii senatores, qui Munychiam venerant. AUGER.

464 τὰ ὀνόματα, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν· εἰ δὲ μή, 30
ἐπ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. ἀπάκριναί δή [1] μοι.

[2] ΕΡΩΤΗΣΙΣ.

ζ'. Ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταί, ἔτι πλειόνων [3] αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔρρωτο ἡ βουλὴ κακόν τι [4] ἐργάζεσθαι αὐτὸν, ὥστ' οὐκ ἐδόκει αὐτοῖς ἅπαντα ταλῃθῆ πω κατηγορηκέναι. τούτους μὲν οὖν ἅπαντας ἐκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. μετὰ τοῦτο προσαπογράφει ἑτέρους τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχιάσιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφό- 35
δρα τινὲς ἐπεμελοῦντο ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρα-
τηγῶν καὶ τῶν [5] ταξιάρχων μήνυσις γένοιτο, [6] —— περὶ [7] δὲ
τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη, ——
465 ὥστε καὶ [8] ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον· καί μοι ἀπόκρι-
ναι, ὦ Ἀγόρατε· [9] οὐ γὰρ οἶμαί σε ἔξαρνον γενέσθαι ἃ
ἐναντίον Ἀθηναίων ἀπάντων [10] ἐποίησας.

[1] μοι, ὦ Ἀγόρατε· Ἆρ' ἀπέγραψας τὰ τούτων ὀνόματα περὶ ὧν λέγω; . . . Οὐδ' οὗτος δήπου ἐξαρνός ἐστιν. Ἐβούλοντο A. [2] ΕΡΩΤΗΣΙΣ om. T. R. A.
[3] αὐτοῦ T. [4] ἐργάζεσθαι· αὐτὸς δ' οὖν T. R. A. [5] ταξιαρχῶν T. R.
[6] parentheseos signa om. T. R. [7] γὰρ A. [8] ἐκεῖ τοῦτον παραγ. A.
[9] ἀλλ' οἶμαι T. R. οὐ γὰρ ἂν οἶμαι A.
[10] ἐποίησας. Ἆρ' ἀπέγραψας ἐν τῷ δήμῳ τοὺς στρατηγοὺς καὶ τοὺς ταξιάρχους . . . . Ὁμολογεῖ A.

Δή μοι] Post δή μοι deesse nonnulla paret. Reisk.

Ἐβούλοντο] Concliabulum illud latronum, quod βουλὴν appellat. Reisk. Np. senatores. Auger.

Αὐτοῦ] F. αὐτόν. Taylor.

Αὐτὸς δ'] Consentiunt multi codices in hanc lectionem et distinctionem: οὕτω σφόδρα ἔβρωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι αὐτόν. οὐκ ἐδόκει αὐτοῖς — lectio, ut mihi videtur, haud contemnenda, dummodo in fine legatur οὐκ ἐδόκει δ' αὐτοῖς. tam gestiebat, vel ruebat senatus ei (Agorato) malum dare. Oratio, id quod patet, est ironica. Verum non videbatur (Agoratus) illis (latronibus) —. Reisk.

Μετὰ τοῦτο] Post hæc v. deest δὲ, quod respondeat præmisso μέν. Idem.

Μήνυσις ἡ γεγενημένη] Inter μήνυσις et articulum interponunt codices μὲν, unde efficio μέν. ut constructio verborum paulo conturbationem hanc sit: ἀπέχρη μέν ἡ ἐν τῇ βουλῇ γεγενημένη. Reisk. Costius legit et distinguit, ut ego legi et distinxi. Auger.

Ἀλλ' οἶμαί σε ἔξαρνον γενέσθαι] Ἀλλ' οἶμαί σε οὐκ ἔξαρνον γενέσθαι. Cont. Scribe γενήσεσθαι, vel ἂν γενέσθαι: sed negaturum te reor. Sequitur: ὁμολογεῖ μὲν αὐτός· ἔμως δὲ, καὶ τὸ ψήφισμα ὑμῖν τοῦ δήμου ἀναγνώσεται. ita distinguendum: et legendum, τὸ ψήφισμα, non τὰ ψηφίσματα. Iterum post vocem ἐποίησας desunt Oratoris Quæstiones, et Agorati Responsa, seu Ἀπορίσεις. Quæ paullo ante præcedunt, ita distingue — μήνυσις γένοιτο, (περὶ δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη) ὥστε καὶ ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. istud ὥστε connectendum est cum præcedentibus οὕτω σφόδρα ἐσπουδάζοντο. Lege etiam: ἡ ἐν τῇ βουλῇ μήνυσις, ἡ γεγενημένη. Markland. et in Edit. min. Taylor. Mihi videtur leg. esse: οὐ γὰρ ἂν οἶμαι. non enim videris mihi ea infitiaturus esse —. Reisk.

Ἐποίησας] Id est, hic loci, εἶπας. nam qui loquitur vel indicat, denuntiat aliquid, præsertim in senatu vel concione, is quoque agit. Locutio est actio. Verum post hoc vocabulum deesse videtur titulus Α-ΠΟΚΡΙΣΙΣ ΑΓΟΡΑΤΟΥ. Idem.

[1] ΕΡΩΤΗΣΙΣ.

ὁμολογεῖ μὲν καὶ αὐτὸς, ὅμως δὲ καὶ τὰ ψηφίσματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται.

[2] ΨΗΦΙΣΜΑ. 466

ἡ. Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι· ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσῆκε ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ γὰρ ἐκεῖνοι συλληφθέν-
133. 1 τες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε, καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη [3] κατεσκάφη, καὶ οἱ Τριάκοντα κατέστησαν, καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τοίνυν οἱ Τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν
5 τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ· ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο·

[1] ΕΡΩΤΗΣΙΣ om. T. R. A. [2] ΨΗΦΙΣΜΑΤΑ. A.
[3] *κατεσκάφησαν*, al T. *κατεσκάφησαν, καὶ* al R. A.

Ὁμολογεῖ μὲν] Post *μὲν* videtur *οὖν* vel *δὴ* deesse. tametsi Lysias in his orationis vinculis paulo esse solet indiligentior atque parcior. IDEM.

Τοῦ δήμου] Imo vero *τὰ τοῦ δήμου*. Veruntamen si pluralis hic bene habet, erit in proximo pro singulari *ψήφισμα* pluralis *ψηφίσματα* substituendum. aut contra. IDEM.

Ἀναγνώσεται] Np. ut millies alibi ὁ γραμματεύς. AUGER.

Καὶ τὰ ἐν τῇ βουλῇ] Subaudi *ἀναγραφέντα*. REISK.

Καὶ οἱ τριάκοντα] Copulam, qua vulgati carent, de meo addidi. *κατεσκάφησαν* an *κατεσκάφη* legendum sit, in dubio relinquam, tametsi singularis numerus est usitatior, et p. 398. 15. est usurpatus in hac ipsa formula. IDEM.

Ἐψηφίσατο] Decretum plebs sciscebat, quo suum in hac causa judicandi jus a se in senatum e XXX viris et eorum assessoribus conflatum transferebat, eique facultatem dabat integram viros ab Agorato delatos pro arbitrio aut absolvendi aut damnandi. IDEM.

Εἰ μὲν οὖν, κ. τ. λ.] Legi malim ad totam periodum vegetandam hoc modo: *Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο· ἅπαντες γὰρ ἴσθ' ὅτι ἐγιγνώσκετε ὅτι, εἰ ἦν κακῶν ἡ πόλις, τῶν δ' ὑπὸ τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν ἐν ᾗ οὐδὲν ἦν ὀφελὸν βίᾳσθαι.* Postremum membrum jampridem suis sedibus avulsum et istud ᾗ continue in ᾧ deformatum elegantissimam junctoram misere funestavit. TAYLOR. *ἐν ᾧ* bene habet, idem significans atque ὅτε vel ἔτι. cum, quando, ubi. nihil hic est transpositum. Nexus ratiocinii, haud ille nimis obscurus, hic est: In judicio populi libero atque legitimo, si de illis lata fuisset sententia, absoluti abis-

467 ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν Τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη [1]ἐγένετο, οἵαν καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ Τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν Τριάκοντα ἐκείσθην· τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι, [2]τὴν μὲν ἐπὶ τὴν πρώτην, τὴν δὲ καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν· ὥςτ' ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; ἑνὶ δὲ λόγῳ, ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν Τριάκοντα εἰσῆλθον κρι- 15
θησόμενοι, ἅπαντων θάνατος κατεγινώσκετο, καὶ οὐδενὸς
468 ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουΐ· τοῦτον δὲ ἀφεῖσαν, ὡς εὐεργέτην ὄντα· ἵνα δὲ εἰδῆτε ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι.

[3]ONOMATA.

Θ'. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, θάνατος αὐτῶν κατεγνώσθη καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται εἰς τὸ δεσμωτήριον, ὁ μὲν [4]ἀδελφήν, ὁ δὲ μητέρα, ὁ δὲ γυ- 20
469 ναῖκα, ὁ δ' [5]ἥτις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα, ἵνα τὰ

[1] ἐγίγνετο T. R. A.
[2] τὴν μὲν καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν, τὴν δὲ σάζουσαν ἐπὶ τὴν πρωτέραν ὥςτε T. R. A.
[3] ONOMATA om. T. R. [4] ἀδελφὸν T. [5] εἴ T. R. A.

sent. noratis enim eos insontes esse, perinde atque multos alios, qui per illorum temporum calamitatem in judicium inducti fuissent, nullius noxiæ rei, capitisque damnati. cernebatis enim labem reipublicæ, sed mederi nos item noratis. Reisk.

Πρόσθεν τῶν τριάκοντα] Τῶν τριάκοντα mihi videtur scholium quod in textum irrepsit, ac proinde recidi velim. Auger.

Τις αὐτῶν] Interponi velim ἄν. Reisk.

Ἀναγνῶναι] Adde ONOMATA ΤΩΝ ΤΠΟ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ ΚΑΤΑΓΝΩΣΘΕΝΤΩΝ. Cont. Post ἀναγνῶναι deest titulus, aut ΑΝΑΓΝΩΣΙΣ, aut ΚΑΤΑΛΟΓΟΣ, aut ONOMATA. Reisk.

Ἀδελφὴν] Sic de meo dedi, pro vulgari ἀδελφὸν, ob insequentia nomina, quæ sunt omnia fœminina. Neque enim licebat nexis, mox morti dandis, mares ad se arcessere necessarios, sed fœminas solummodo, quæ defunctos lavarent, vestirent, exponerent, quæ munia sunt, non virilia, sed muliebria. Idem.

Εἴ τις ἑκάστῳ αὐτῶν προσήκουσα] Lego, προσήκων. quare enim *Fœminas* tantum accerserent condemnati? quin et statim dicit ἀσπασάμενοι τοὺς αὐτῶν, et paulo ante dixerat, τὸν ἀδελφὸν ab hoc vel illo accersitum fuisse. Paulo ante legendum: βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι. ONOMATA. Ἐπειδὴ τοίνυν, etc. Vulgo deest ONOMATA. quemadmodum in Andocide de Myster. p. 3. ed. Steph. καί μοι λάζε καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα. ONOMATA. Τούσδε Ἀνδρόμαχος ἐμήνυσεν, Ἀλκιβιάδην, etc. Sic et ibi legendum, cum ante deesset ONOMATA: paulo post enim recte habetur: καί μοι λάζε καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν. ONOMATA. Τούσδε Τεῦκρος ἐμήνυσε, Φαίδρων etc. et ita rursus p. 5. Quin et idem iterum defectus videtur esse p. 7. ejusdem Orationis, post voces καὶ αὐτοῖς ἀναγνῶναι. Markland. F. προσήκων. *In Edit. min.* Taylor. Codices bene multi ἥ τις. ambigo, utrum præstet. utrumvis præferas, semper pest.

ὕστατα ἀσπασάμενοι [1] τοὺς αὐτῶν οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδωρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ' ἐκείνη ἀφικνεῖται, μέλαν [2] τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς τοιαύτῃ συμφορᾷ κεχρημένῳ. ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά τε οἰκεῖα τὰ [3] ἑαυτοῦ διέθετο, ὅπως αὐτῷ ἐδόκει, καὶ περὶ Ἀγοράτου τούτου ἔλεγεν ὅτι αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ, τῷ ἀδελφῷ τῷ αὐτοῦ, καὶ τοῖς φίλοις πᾶσι τιμωρεῖν ὑπὲρ αὐτοῦ Ἀγόρατον· καὶ τῇ γυναικὶ τῇ αὐτοῦ ἐπέσκηπτε, νομίζων αὐτὴν κύειν ἐξ αὐτοῦ, ἐὰν γένηται αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ ὅτι τὸν πατέρα αὐτοῦ Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ αὐτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

ι. Οὗτοι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου ἀπογραφέντες ἀπέθανον· ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποιήσαντο οἱ Τριάκοντα, σχεδόν οἶμαι ὑμᾶς ἐπίστασθαι ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο· ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας συμφορὰς τῇ πόλει, ἀνάγκη δ' ἐστίν, ὦ ἄνδρες δικασταί, ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε ὡς σφόδρα ὑμῖν [4] [μὴ] ἐλεεῖν προσήκει Ἀγόρατον. ἴστε μὲν

[1] τὰς A. [2] γε A. [3] αὐτοῦ T. R. [4] [μὴ] om. T. A. οὐκ R.

προσήκουσα subaudiri debet ταύτην. Reisk.

Μέλαν τε ἱμάτιον] Π. μέλαν γε ἱμάτιον. H. Stephan. Forte, μέλαν δειμάτιον: nempe, solennem illum habitum lugubrem. Mox, pro τῷ ἀνδρὶ αὐτῆς, scribe αὐτῆς. Markland. Aut τε est delendum, aut deest hæc ferme sententia καὶ δακρύουσα vel δεδακρυμένη (nam perinde est), aut καὶ κατηθοῦσα. Reisk.

Ἀνδρὶ αὐτῆς] Leg. ἀνδρὶ αὐτῆς. Taylor.

Αἴτιος ἦν] Malim aut ἦ aut εἴη. Reisk.

Ἐλασσῖν] Recte habet Cod. Steph. μὲν ἐλασσῖν. Nam illa altera locutio per Ironiam rarissima est in auctore nostro. Hæc familiarissima. Modo in superioribus: Ὧν τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο, καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσήκει ἐλασσῖσθαι, κ. τ. λ. Atque ita in oratione c. Eratosth. Ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμων καὶ ἧλιον μὲν εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις. Taylor. Hæc accipienda ironice, malim tamen ante ἐλασσῖν addi μὲν vel οὖν. Auger.

Ὡς σφόδρα ὑμῖν ἐλασσῖν προσήκει Ἀγόρατον] Vitiosam esse hanc lectionem non opus est arguere: meliorem præbet Codex Stephani μὲν ἐλασσῖν, quam nihil curasse videtur Reiskius, cum de suo præposuerit οὐκ ante vocem ἐλασσῖν, quod mihi quidem frigidum videtur. Vehementius quoddam verbum requiritur ad sententiæ gravitatem: forte in lectione, quam præbet Margo Stephani μὲν ἐλασσῖν, hæc latet antiqua et germana: ὡς σφόδρα ὑμῖν μισεῖν προσήκει Ἀγόρατον. Ita p. 147. v. 29. ed. Steph.

γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας, οἵοι ἦσαν καὶ ὅσοι, καὶ οἴῳ ὀλέθρῳ ὑπὸ τῶν Τριάκοντα ἀπώλοντο· ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος, ὡς πολλοὶ ταύτῃ τῇ 40
συμφορᾷ ἐχρήσαντο· μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τοὺς ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον. οἳ οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι, οἱ μὲν γονέας σφετέρους αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσαιεν τὸν βίον, ταφήσεσθαι, οἱ δὲ ἀδελφὰς ἀνεκδότους, οἱ δὲ παῖ- 134. 1
471 δας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους. οὓς, ὦ ἄνδρες δικασταί, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις [1] γένοιτο, ἀποστερηθέντας διὰ [2] τοῦτον τῶν ἡδίστων; ἔτι δὲ τὰ τείχη ὡς κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ 5
[3] τὰ νεώρια καθῃρέθη, καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν [4] ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς δὲ τούτοις τὰς ἰδίας οὐσίας ἀπωλέσατε, καὶ τὸ τελευταῖον συλλήβδην ἅπαντες ὑπὸ τῶν Τριάκοντα ἐκ τῆς πατρίδος
472 ἐξηλάθητε. ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην, ὦ ἄνδρες δικασταί, ποιήσα- 10
σθαι· οὓς σύ, Ἀγόρατε, [5] βουλομένους ἀγαθόν τι πρᾶξαι

[1] γένοιντο T. A. [2] τούτων T. [3] τὰ om. T. A. [4] ἡμῶν T. [5] βουλόμενος T.

χρὴ — οὐκ εἰ τις τολμᾷ διὰ τοῦτο μισεῖν: v. 32. οἷα ἄξιον ἀπ' ὄψεως, ὦ Σουλᾶ, οὔτε φιλεῖν, οὔτε μισεῖν εἰδέναι. P. 152. v. 18. ἅστε ὑπὸ πάντων τῶν συγγεγραμμένων μεμεθύσθαι. Antiphon p. 146. v. 17. ἀποδείξω ὑμῖν τοὺς κατηγόρους ἀξίους οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι, ἀλλὰ καὶ ὑφ' ὑμῶν πάντων καὶ τῶν ἄλλων πολιτῶν. Demosthenes in Pantaenetum p. 982. 12. ed. Reisk. ὡς ὃς ἂν σοὶ δοκῇ, τοῦτον δημοσίᾳ μισεῖσθαι προσήκει. Sluiter.

Περὶ τούτου] Mox dicit διὰ τοῦτον, per hos, nempe Agoratum et τοὺς XXX. Hic itaque scribendum περὶ τούτων, aut illic διὰ τοῦτον. Pro γένοιντο, forte leg. γένοιτο. si res esset arbitrii illorum. Markland.

Γένοιντο] Melim γένοιτο. Taylor. Subauditur τὸ θέσθαι τὴν ψῆφον. Reisk.

Διὰ τοῦτον] Dedi. propter hunc, Agoratum puta. Idem.

Ἔτι δὲ] Subandi a communi e superioribus repetendum μέμνησθε. Idem.

Τὴν ἀκρόπολιν ὑμῶν — τῆς πόλεως — τῆς ἐλαχίστης πόλεως τὴν πόλιν] Molesta est eadem vox toties repetita in eadem sententia. suspicor ultimam τὴν πόλιν esse a Glossatore Grammatico. nisi supra, ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, pro τῆς πόλεως scribendum sit τῆς πολιτείας. Markland.

Τούτοις τὰς] Videtur καὶ interponendum esse. Reisk.

Οὓς σὺ Ἀγόρατε, κ. τ. λ.] Multa sunt in hac commate, quae mihi stomachum movent. 1. Istud τῇ πόλει usque ad nauseam ingeminatum, ἀγαθόν τι πρᾶξαι τῇ πόλει ἀκίνητους, μενούσας αὐτοὺς τῇ πόλει — καὶ αἵτινες αἱ ἀκίνητοι τῇ πόλει τῶν παλαιῶν ὧν γεγραμμένων: quorum omnia non sunt Graeca. 2. Istud βουλόμενος etc. est pro-

τῇ πόλει ἀπέκτειναν, μηνύσας αὐτοὺς τῇ [1]πόλει ἐπιβουλεύειν [2][καὶ] τῷ πλήθει τῷ [3]ὑμετέρῳ, καὶ αἴτιος εἴ ἁπάν- 473
των τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων.

ιά. Θαυμάζω δ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅ τί ποτε τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι, ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων οὐδ' αἴτιος αὐτοῖς ἐστὶ τοῦ θανάτου, [4]ὅπερ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι. πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ, διαῤῥήδην ἀγο- 474
ρεύοντα περὶ ὧν Ἀγόρατος κατεῖρηκεν· ἔπειτα ἡ κρίσις, ἣν ἐκρίθη ἐπὶ τῶν Τριάκοντα καὶ ἀφείθη, διαῤῥήδην λέγει, διότι φησὶν ἔδοξε ταλη θῆ εἰσαγγεῖλαι. [5]καί μοι ἀνάγνωθι [τὰ ψηφίσματα καὶ] [6]τὰς γραφάς.

[1] *βουλῇ* R. A. [2] [καὶ] om. T. R. A. [3] *ὑμετέρῳ* R. A.
[4] *ἂν δύναιτο* T. *ὃ οὐκ ἂν δυν.* R. A.
[5] *καί μοι . . . . . γραφάς* om. T. uncos om. R. A. [6] *τὴν γραφήν* A.

ter rem, sed hoc facilem medicinam recipit, legendo *βουλομένους*, quæ verissima est lectio. 3. Falso id dicitur delationem Agorati hujusmodi esse, hos homines *ἐπιβουλεύειν τῷ πλήθει*. Infra enim: *Δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα, ἀποφαίνειν, ὁρᾶν αὐτοὺς ποτὲ καὶ οὐκ ἐπιτίθεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας, οἴομαι δὲ οὐδ' ἂν τοῦτο αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι.* 4. Denique male usurpatur *τῷ πλήθει τῷ ὑμετέρῳ*, cum ad Agoratum oratio convertitur. Taylor.

Ἀγαθόν τι πεᾶξε τῇ πόλει] Forte, *τὴν πόλιν*. Isocrates Panegyrico.: *ὅστις οὖν οἶδεν τοὺς ἄλλους κοινῇ πράξειν ἀγαθόν.* Demosthenes Orat. *περὶ Συντάξ. τὴν πόλιν πρᾶξαι ἀγαθά.* Lucas tamen Actor. IX. 13. altera forma utitur: *ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου.* et Isocrates Orat. de Bigis, ad finem: et Xenophon Hellen. IV. p. 540. *ἐνήμισε καταπρᾶξαι ἂν τι τῇ πόλει ἀγαθόν.* Markland. F. *τὴν πόλιν. In Edit. min.* Taylor. Differre credo *πρᾶξαι ἀγαθὸν τὴν πόλιν*, et *πρᾶξαι ἀγαθὸν τῇ πόλει*. hoc significat *urbi aliquod bonum conciliare, comparare*, illud *urbem aliquo bono afficere*. Animadv. Char. Aphrod. l. ii. c. vi. p. 191. D' Orville.

Τῇ πόλει ἐπιβουλεύειν τῷ πλήθει τῷ ὑμετέρῳ· καὶ αἴτιος εἶ etc.] Ita interpungendum post *ὑμετέρῳ*, et legendum, *καὶ τῷ πλήθει*: distinguit enim *τὴν πόλιν* a *τῷ πλήθει*. exempla passim. Editio Vanderheidii in Parenthesi male includit hæc quatuor vocabula, *τῷ πλήθει τῷ ὑμετέρῳ*, quasi essent exegetica tantum vocum *τῇ πόλει*. Sequitur: *καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων.* aures eruditas lædet, nisi fallor, hic ordo verborum. potior foret: *καὶ αἴτιος εἶ ἁπάντων τῶν κακῶν τῶν τῇ πόλει γεγενημένων.* Markland. F. *τῇ πόλει ἐπιζουλεύειν καὶ τῷ πλήθει. In Edit. min.* Taylor. Pro vulgari *τῇ πόλει* dedi de meo *τῇ βουλῇ*, id est *πρὸς τὴν βουλήν. qui ad senatum detuleris*, vel *denunciaveris, hos vero plebi nostræ insidiari.* Reisk.

Κἂν δύναιτο, κ. τ. λ.] Delet hæc Sebottus. Sed festinanter nimis, si me audias. Lege: *ὃ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι.* Aliquatenus præivit Scaliger. Vid. Lect. Lysiac. c. 12. Taylor. *ἀλλ' οὐκ ἂν δύναιτο οὐδ' ἐπιδεῖξαι.* Cont.

Αὐτοῦ] Quare iterum hoc deleat Sebottus plane nescio. Taylor. Ita distinguendum: et construendæ voces *αὐτοῦ καταμαρτυρεῖ*, non *τὰ ψηφίσματα αὐτοῦ*. Parva sunt hæc, fateor: sed hæc parva Virum magnum, Sebottum, in errorem induxerunt, ut putaret ejiciendam esse vocem *αὐτοῦ*, quam tamen postulat sensus. Markland. Cum Marklando facit Augerus.

[1]ΨΗΦΙΣΜΑΤΑ. [2]ΓΝΩΣΙΣ. [3]ΓΡΑΦΑΙ.

ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀπο-
475 δεῖξαι· δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαί-
νειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ
ὑμετέρῳ πράττοντας. οἶομαι [4]δ' οὐδ' ἂν [5]τοῦτο αὐτὸν
ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν 25
476 δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ Τριάκοντα, δεδιότες
μὴ [6]καταλυθείη ἂν ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν
αὐτοὺς ἀπέκτειναν, ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου.

ιβ'. Ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι.

[1] ΨΗΦΙΣΜΑ. T. [2] ΓΝΩΣΙΣ om. T. R. A. [3] ΓΡΑΦΗ T. A.
[4] δ' om. T. [5] τοῦτό γε R. τοῦτον T. [6] καταλυθείησαν, ὁ T.

ΨΗΦΙΣΜΑ. ΓΡΑΦΗ.] Ante has voces MS. Stephani bene inserit, καί μοι ἀνάγνωθι. Pro ΨΗΦΙΣΜΑ vero, legendum ΨΗΦΙΣΜΑΤΑ: duo enim erant, unum τῆς βουλῆς, alterum τοῦ δήμου, ut paulo ante dixit. ΓΡΑΦΗ autem est κρίσις seu Consultum τῶν ΧΧΧ. cujus particulam modo citaverat, Διότι ἔδοξε etc. MARKLAND. In vulgatis locus hic sic circumfertur. εἰσαγγεῖλαι. ΨΗΦΙΣΜΑ. ΓΡΑΦΗ. ὡς μὲν οὖν. Ego collatis inter se codicum lectionibus hanc conflavi, quam arbitror a vera Lysiæ manu proxime abesse: εἰσαγγεῖλαι. καί μοι ἀνάγνωθι τὰ ψηφίσματα καὶ τὰς γραφάς. ΨΗΦΙΣΜΑΤΑ. ΓΡΑΦΑΙ. Ὡς μὲν οὖν — In plurali dixit τὰς γραφὰς et ΓΡΑΦΑΙ. Vocabulum γραφὴ h. l. a Lysia sensu rariusculo usurpatum est pro ἀπογραφή. Designat illos duos indices ab Agorato, id quod e superioribus constat, alium post alium, exhibitos, in quibus perscripserat nomina a se delatorum. Paulo post, sub exitum hujus paginæ recurrit voc. γραφὴ hoc sensu *indicis, d'une liste.* REISK. Hic γραφὴ interpretor *sententia judicum*, cum vulgo intelligi debeat *libellus accusatorius.* AUGER.

Ταῦτα] Malim πάντας. *delatos a se cunctos merito delatos esse.* REISK.

Αὐτοὺς] Np. illos quos detulit Agoratus. AUGER.

Οἶομαι κ. τ. λ.] Π. οἶομαι δὲ οὐδ' ἂν τοῦτο αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. H. STEPHAN. CONT. TAYLOR.

Οὐ γὰρ δήπου κ. τ. λ.] Recte jam tandem Schottus sustulit otiosum istud ὁ δῆμος. Minus tamen recte interpres, qui in ejus verba semper fere jurat, ὁ δῆμος τιμωροῦντες. Utrique communiter etiam deletis delendis imposuit hujus loci prava distinctio. Emendabit lector nasutus mecum: Οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ τριάκοντα, δεδιότες μὴ καταλυθείησαν [καταλυθείη ἂν ὁ δῆμος, in *Edit. min.*], τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. TAYLOR. Lego et distinguo: οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ Τριάκοντα, δεδιότες μὴ καταλυθείη ἂν ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. *si enim isti populum* (vel, *statum popularem*) *Athenienſem in re qualibet læsissent, Triginta-viri non punissent eos morte, popularis status gratia*, vel *metu ne Democratia dissolveretur: immo contra*, muneribus eos affecissent. Ὁ δῆμος est *Democratia*, status popularis. ubique occurrit tum apud Nostrum, tum Æschinem, Lycurgum, Diog. Laertium, etc. Male has voces delet Schottus. par huic mendum Orat. XIX. ubi pro φήθησαν Stephanus restituit φήθη ἄν. Mox, pro εἶτα δὲ καὶ ἐκεῖνο μεμνῆσθαι, forte scribendum δεῖ. Vulgata tamen ferri potest. MARKLAND. Ego locum hunc in vulgatis a mala interpunctione uniusque literæ redundantia misere affectum, ad mentem Marklandi, a quo feliciter sanatus est, restitui. REISK.

Εἰργάσαντο] Redit ad delatos ab Agorato. IDEM.

Τοὐναντίον τούτου] Occisi sunt scil. e contrario, quod salutaria reipublicæ consilia agitabant, cautumque ibant, ne libertas publica jugularetur. Vel sic potius: Imo vero plurimi eos fecissent, et honoribus auxissent, ob studium patriam pessumdandi. IDEM.

Τοσαῦτα] Graviter dictum. Nam cum haud sit inconsentaneum, aliquem imprudentem et invitum aliquando labi, errore suo, alienove impulsu, tum est admodum improbabile, eum invitum sæpe ruere. con-

ἐγὼ δ' οὐκ οἶμαι, ὦ ἄνδρες δικασταί, οὐδ' ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γε-
30 νέσθαι ἐστὶν ὑπερβολήν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. εἶτα δὲ καὶ [1]ἐκείνων μεμνῆσθαι, ὅτι ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτ' ἐπὶ τοῦ βωμοῦ 477
ἐκάθητο Μουνυχιάσι, σωθῆναι· καὶ γὰρ πλοῖα παρεσκεύαστο καὶ [2][οἱ] ἐγγυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων, οὔτ' ἂν ἐκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίους ἀπέκτεινας· νῦν
35 δὲ πεισθεὶς ὑφ' ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν [3]ταξιάρχων τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾠου παρ' αὐτῶν [4]διαπράξασθαι. οὔκουν τούτου ἕνεκα δεῖ σε παρ' ἡμῶν συγγνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. καὶ Ἱππίας μὲν ὁ Θάσιος καὶ Ξενοφῶν ὁ Ἰκαριεὺς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον, 478
40 ὁ μὲν στρεβλωθείς, Ξενοφῶν, ὁ δὲ [5]Ἱππίας * * * * διότι

[1] ἐκεῖνο T. R. A. [2] [οἱ] om. T. uncos om. R. A. [3] ταξιαρχῶν T. R. A. [4] διαπράξεσθαι A. [5] Ἱππίας οὕτω· διότι T. R. A.

tra vero, quo sapius peccet, hoc certius constat eum data opera peccare volentem. IDEM.

Ὑπερβολὴ] Π. ὑπερζολήν. H. STEPHAN.

Οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι] Idem est ac si dixisset: οὐκ οἶμαι δεῖν ὑμᾶς διὰ τοῦτο οὐκ ἀμύνεσθαι. *non autumo vos ideo oportere ultionem omittere.* Denique situs οὐ δεῖν, ut est in libris, servandum, an οὐδὲ δεῖν legendum, in medio relinquam, et nil magnopere interest. REISK.

Εἶτα δὲ καὶ] Εἶτα δεῖ καί. CONT.

Μεμνῆσθαι] F. Μέμνησθε. TAYLOR. Haud repugnabo. verum neque in vulgata video, quod obstet. Aut enim potest infinitivus hic pro more solito Græcorum accipi pro imperativo, ubi δεῖ subauditur, aut potest a communi e superioribus repeti οἶμαι ὑμᾶς. *arbitror vos meminisse.* ἐκείνου posuit ferri, æquipollens τῷ ἐκείνου in singulari. *meminisse illius,* quod statim sequitur. REISK. Sub. οἶμαι ὑμᾶς. AUGER.

Καὶ ἐγγυηταὶ ἕτοιμοι] Scribe, καὶ οἱ ἐγγυηταὶ, ut supra et infra. Paulo ante, distinguendum post Μουνυχιάσι, non post ἐκάθητο. MARKLAND.

Διαπράξασθαι] Lege, διαπράξεσθαι, *te consecuturum esse.* IDEM.

Καριεὺς] Nullus fuit demus Καρὶς in Attica, unde gentile formari possit Καριεύς. Tu lege meo periculo Ἰκαριεὺς a pago seu demo Ἰκαρία, a quo gentile Ἰκαριεὺς invenitur apud Demosthen. c. Conon. et de illo demo, quem alii Ἰκάριον, alii Ἰκαρίαν vocant, marmoris Arundeliani Chronicon loquitur pag. 3. lin. 55. tum Harpocratio, Stephanus, Suidas, et alii. PALMER. Vide quoque Meursium de Pagis. TAYLOR.

Οὕτω] Si fas sit non omnia scire, sit istud portentum inter ea, quæ juxta sciam eum maxime inscientibus. IDEM. *Eodem modo:* scil. quæstioni subjectas. sed vocem οὕτω mihi suspectam reddunt Distributiva ista μὲν et δὲ, quæ Dissimilitudinem aliquam pœnarum innuere videntur. Modus aliquis supplicii, quod patiebatur Hippias, forte latet sub ista voce. Vide Pollucem VIII. 7. segm. 71. ubi recenset *instrumenta carnificis,* quæ erant ξίφος, βρόχος, τύμπανον, φάρμακον, κάπειον. Plura vide apud Aristophanem in Ranis. MARKLAND. Miror ambos hosce viros doctissimos in re plana et obvia æstuare, et de obscuritate queri, et insciitiam suam fateri, neque recordari eorum, quæ bene norant, et alibi recte ipsi tradiderant. Velim omnes cæteros Græcorum locos sæpe breves ita esse planos et expeditos, atque

479 [1] οὐκ ἄξιοι ἐδόκουν τοῖς Τριάκοντα σωτηρίας εἶναι — οὐδένα γὰρ Ἀθηναίων ἀπώλλυσαν — · Ἀγόρατος δὲ ἀφείθη, διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

ιγ'. Ἀκούω δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι περὶ τῶν [2] γραφῶν τούτων. τὸ δὲ τοῦ Μενεστράτου πρᾶγμα τοιοῦτον ἐγένετο· ὁ Μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ Ἀγοράτου καὶ συλληφθεὶς ἐδέδετο· Ἀγνόδωρος δ' ἦν Ἀμ- 135. 1
φιτροπαιεὺς, δημότης τοῦ Μενεστράτου, Κριτίου κηδεστὴς τοῦ τῶν Τριάκοντα. οὗτοσὶ οὖν, ὅτε ἡ ἐκκλησία [3] Μουνυχιάσιν ἐν τῷ θεάτρῳ [4] ἐγίνετο, ἅμα μὲν βουλόμενος τὸν Μενέστρατον σωθῆναι, ἅμα δὲ ὡς πλείστους ἀπογραφέντας
480 ἀπολέσθαι, παράγει αὐτὸν εἰς τὸν δῆμον, καὶ [5] εὑρίσκονται αὐτῷ κατὰ τὸ ψήφισμα τοῦτο ἄδειαν.

[6] ΨΗΦΙΣΜΑ.

ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ Μενέστρατος 5

[1] οὐκ ἂν ἄξιοι T. οὐκ ἀνάξιοι R. [2] ἀπογραφῶν A. [3] ἐν Μουν. T.
[4] ἐγίνετο T. R. A. [5] εὑρίσκοντο τι T. [6] ΨΗΦΙΣΜΑ, om. T.

hic est. οὕτως ἀποθνήσκειν, cum opponitur τῷ στρεβλωθεὶς ἀποθνήσκειν, idem est atque simpliciter morti dari, sine præmisso tormentorum cruciatu. οὕτως idem est atque ἁπλῶς, vulgari mortis genere, quo plerique interimuntur, qui supplicio capitis luunt. v. Herodot. p. 119. 11. edit. Gronov. Aristophanis Ranas v. 638. Markland. ad Demosth. Midianam p. 89. 6. Ego ipse quoque hoc de usu particulæ οὕτως, ni fallor, ad Polybium admonui, et exempla plura contuli. Reisk. οὕτω, simplici mortis genere, sive tormentis. Auger.

Οὐκ ἂν ἄξιοι] Istud ἂν est in hoc loco importunissimum et recte abest a Coisl. codice. Taylor. Esse ἂν h. l. importunissimum aienti Tayloro largior equidem, nego tamen, quod ille ait, recte a Coislin. abesse. Duo vocabula ἂν ἄξιοι in unum ἀνάξιοι erant contrahenda. Xenophon et Hippias videbantur triginta tyrannis non indigni, qui servarentur propterea, quod eivem Atheniensem nullum pessumdedissent sua delatione. Non indigni salute sunt homines frugi. Hi videbantur illi duo tyrannis esse (sic). propterea de medio eos tollebant. nam hominem frugi, dignum vitalibus auris, non poterant pati quenquam superesse. Reisk.

Ἀπώλλυσαν] Hi duo nempe modo dicti, Xenophon et Hippias, nemini causam exitii denunciatione sua attulerant, h. e. neminem indicaverant. Idem.

Ἀμφιτροπαιεὺς] Ἀμφιτροπαιεὺς, Ald. Coisl. Καφισιάδαι ἕτερον ἀγρὸν, Ἀμφιτροπῆσιν ἐργαστήρια δύο. Æsch. c. Timarch. Taylor.

Ἐν Μουνυχιάσιν] Lege Μουνυχιάσιν absque ἐν, ut semper alibi solet noster, atque uti legebat quoque Ald. Vid. Duker. ad Thucyd. VIII. 92. Idem.

Εὑρίσκοντο] Rectius εὑρίσκει, [vel εὕρισκε. *In Edit. min.*] Idem. Lego: καὶ εὑρισκέ γε (vel εὑρίσκετο) αὐτῷ κατὰ τὸ ψήφισμα τοῦτο ἄδειαν. ΨΗΦΙΣΜΑ. Ἐπειδὰν δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, etc. Andocides de Myster. p. 5. Τοῦτος ἦλθε Μεγαρόθεν ἄδειαν εὑρόμενος. In Stephani Edit. deest ΨΗΦΙΣΜΑ, quod in suam inseruit Vanderheidius, ex conjectura, opinor. certissimam tamen restitutionem puto. Mox sic distingue et lege: ἀλλοθῆ εἰσαγγεῖλαι· ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον λαζόντες, ἐν δικαστηρίῳ, ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως κατεψηφίσασθε. καὶ ἀπεστυμπανίσθη. Schottus quoque conjicerat τῷ δημίῳ, carnifici, pro τῷ δήμῳ. Markland. Duo vocabula, in vulgatis h. l. versantia εὑρίσκειν τι, in unum εὑρίσκονται contraxi. impetrant, quoquo modo, quaqua arte vel fraude obtinent, ut ei venia spiritus daretur. Critias puta, et Hegnodorus, iisque dediti. Reisk.

καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν. τοῦτον μέντοι οἱ μὲν Τριάκοντα ἀφεῖσαν, ὥσπερ Ἀγόρατον τουτονί, δόξαντα [1]ἀληθῆ εἰσαγγεῖλαι· ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον λαβόντες ἐν δικαστηρίῳ ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι, τῷ [2]δημίῳ παρέδοτε, καὶ ἀπετυμπανίσθη. καίτοι εἰ [3]ἐκεῖνος ἀπέθανεν, ἥπου Ἀγόρατός γε δι- 481
καίως ἀποθανεῖται, [4]ὅς γε τόν [5]τε Μενέστρατον ἀπογράψας αἴτιος [6]ἐκείνῳ ἐστὶ τοῦ θανάτου, καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι τίς αἰτιώτερος ἢ ὁ εἰς τοιαύτην ἀνάγκην ἐκεῖνον καταστήσας;

ιδ'. Ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ Χολλίδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο καὶ τὰ πλοῖα παρασκευάσας Μουνυχιάσιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ τούτου. καὶ τό γε ἐπ' [7]ἐκεῖνον εἶναι ἐσώθης, καὶ οὔτ' ἂν 482
Ἀθηναίων οὐδένα ἀπώλεσας οὔτ' ἂν αὐτὸς [8]σὺ εἰς τοιούτους κινδύνους κατέστης· νῦν δὲ καὶ τὸν σωτῆρα τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι, καὶ [9]ἀπέγραψας καὶ ἐκεῖνον καὶ

[1] τἀληθῆ A. [2] δήμῳ T.
[3] ἐκεῖνος δικαίως ἀπέθανεν, ἥπου Ἀ. πολὺ δικαιότερον ἀποθανεῖται A.
[4] ὅστε T. R. [5] τε om. A.
[6] ἐκείνῳ τε αἴτιος ἦν τ. θ., κ. τ. ὑ. M. ἀπογραφεῖσι. Τίς γὰρ ἂν ἄλλος αἰτιώτερος A.
[7] ἐκείνῳ R. A. [8] σὺ om. T. R. A. [9] ἐπέτριψας R.

τῷ δήμῳ] F. τῷ δημίῳ. SCHOTT. Quod ad veritatem pulcre accedit. TAYLOR.

Ἐκεῖνος ἀπέθανεν] Videtur δικαίως interponendum. Universe mallem hanc sententiam sic enunciatam fuisse: καίτοι εἰ ἐκεῖνος (Menestratus) δικαίως ἀπέθανεν (ἀπέθανε δὲ δικαίως) ἥπου Ἀγόρατός γε πολὺ δικαιότερον ἀποθανεῖται, ὅς γε τὸν Μενέστρατον ἀπογράψας ἐκείνῳ τε αἴτιος τοῦ θανάτου ἐστὶ, καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι τίς γὰρ ἂν ἄλλος εἴη αἰτιώτερος—. REISK.

Χολλίδῃ] Vel Χολλείδῃ. Nam utroque modo scribitur pro temporum ratione diversitateque exarandi. V. Harpocr. et Maussac., Meursium et Sponium de pagis Attic., σχ. Aristoph. Acharn. 405., Demosth. c. Theocrin., Steph. Byzantin., Reines. Inscript. II. 69., Prid. ad Marm. Oxon. p. 83. TAYLOR. Χολλείδη legisse videtur Harpocration: Χολλεῖδαι, Αυσίας· δῆμος τῆς Ασσυρίδος. sed corrigendum videtur Χολλίδαι. Vide Valesium ad locum: et Casaubonum ad Diog. Laertium Platone. Demosthenes adv. Lacriti Παραγρ. Διονύσιος Δημοσθενίδου Χολλίδης. MARKLAND.

Ἐπ' ἐκεῖνον] Ἐπ' ἐκείνῳ. SCALIG. CONT. Quod multo melius. TAYLOR. Scribendum forte ἐκείνῳ. et quantum in ipso erat, servatus fuisses. Sic Orat. XXVIII. ἀλλὰ, τὸ ἐπὶ τούτοις εἶναι, ἐν τοῖς δυνατώτατος κινδύνοις καθεστήκατε: quantum in his fuit. Thucydides VIII. segm. 48. καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶναι. Lucianus Hermot. p. 506. ὅσον γοῦν ἐπ' ἐκείνῳ: ita legendum pro ὅσῳ. Vide ad Orat. XV. Thucydides vero IV. 28. ἐκέλευεν ὅτιτινα βούλεται δύναμιν λαβόντα, τὸ ἐπὶ σφᾶς εἶναι, ἐπιχειρεῖν· ubi tamen Scholiastes notat, Antyllum, veterem Criticum, legisse ἐπὶ σφίσι. Xenophon Hellen. III. p. 504. ὥστε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι, ἀπολάλατε. MARKLAND. Vid. tamen Not. Porson. ad Orest. v. 1538.

Ἀπέγραψας] Ἐπέγραψας. Ald. continuo fere errore. Vide quæ diximus de hac voce ad principium orationis superioris. Ἀπογράψας, Coisl. TAYLOR. Dedi de meo ἐπέτριψας, *pessumdedisti*, pro vulgari ἐπέγραψας. REISK. Vel ἀπέκτεινας.

τοὺς ἄλλους ἐγγυητάς. τοῦτον μέντοι ὡς οὐ καλῶς Ἀθηναῖον
483 ὄντα ἐβούλοντό τινες βασανισθῆναι, καὶ τοῦτ' τὸ ψήφισμα
τὸν δῆμον ἀναπείθουσι [1]ψηφίσασθαι.

[2]ΨΗΦΙΣΜΑ.

μετὰ τοῦτο τοίνυν προσιόντες τῷ Ἀριστοφάνει οἱ πράττοντες τότε τὰ πράγματα ἐδέοντο αὐτοῦ κατειπεῖν καὶ σώζεσθαι, καὶ μὴ κινδυνεύειν ἀγωνισάμενον τῆς ξενίας τὰ 20
ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη [3]οὐδέποτε· οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ περὶ τὸν δῆμον τῶν Ἀθηναίων, ὥστε εἵλετο μᾶλλον ἀποθανεῖν ἢ κατειπεῖν καὶ ἀδίκως τινὰς ἀπολέσαι. ἐκεῖνος μὲν τοίνυν καὶ ὑπὸ σοῦ ἀπολλύ-
484 μενος τοιοῦτος ἐγένετο, [4]καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς καὶ Ἱππίας ὁ Θάσιος· σὺ δ' οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνειδώς, πεισθεὶς δὲ ὡς σύ γε, ἂν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις 25

[1] ψηφίζεσθαι T. R. A.
[2] ΨΗΦΙΣΜΑ. om. T.
[3] οὐδέποτε ποιήσειν. οὕτω A.
[4] καὶ ὁ Ξ. T. A.

Τοῦτον] Aristophanem puta Chollidem. REISK. Sc. Aristophanem, malim Ἰκεῖνον. AUGER.

Ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα] Lege: ὡς οὐ καθαρῶς Ἀθηναῖον ὄντα. Lucian. in Timon. Τύφωτις ἐλευθέρους οὐ καθαρῶς ἐλεύθερος οὐδ' ἁστὸς ὤν. Liban. in vita Demosthenis: τὸ μητρῷον γένος τοῦ ῥήτορος, οὐκ ἦν καθαρῶς Ἀττικός. Heliodorus Æthiopic. initio: ἦν δὲ οὐ πολέμιον καθαρῶ τὰ φασήλεια σύμβολα, ἀλλ' ἀνημέμιστο καὶ εἰωχίας λείψανα. TAYLOR. Scribo: τοῦτον μέντοι, ὡς οἶσι ἄλλος (vel οἴχ ὅλος) Ἀθηναῖον ὄντα, ἐβούλοντό τινες βασανισθῆναι· καὶ τοῦτ' τὸ ψήφισμα τὸν δῆμον ἀναπείθουσι ψηφίζεσθαι. ΨΗΦΙΣΜΑ. Μετὰ τοῦτο etc. *hunc igitur, utpote cæteroquin* (vel, *omnino*) *non Atheniensem, voluerunt nonnulli quæstioni subjici*, etc. Civis enim Atheniensis tormento subjici per leges non potuit, ut supra narrat Noster: tametsi Demosthenes de Cor. dissentire videatur, in historia Antiphontis, quem Atheniences στρεβλώσαντες occiderunt: si tamen iste Civis revera fuit, et non hoc nomine ab Æschine falso donatus, ad invidiam Demostheni faciendam. Vide et Andocidem de Myster. p. 7. Sed ad Lysiam. Pro βασανισθῆναι prior lectio erat καταγνωσθῆναι· quod vult, opinor, κατεγνωσθῆναι, *condemnari*. et hoc verum videtur. Iterum restitui vocem ΨΗΦΙΣΜΑ: quæ omissio adeo usitata est, ut bis acciderit in una pagina Lycurgi, p. 165. Edit. Steph. lin 9. post verbum ἀκίνητον, et lin. 30. post vocem ψήφισμα. Sequitur: ὁ δὲ οὐκ ἔφη οὐδέποτε· intellige, κατεγνῶν ἄν. *ille autem pertinaciter affirmavit se nunquam delatorem fore.* MARKLAND. Καλῶς bene habet, idemque b. l. valet atque καθαρῶς. REISK.

Βασανισθῆναι] Καταγνωσθῆναι, et deinde καταγνωσθῆναι. SCALIG. Et hoc postremum forte recte se habet. Modo enim ἀγωνισάμενον τῆς ξενίας. TAYLOR.

Οὐδέποτε] Post οὐδέποτε videtur ποιήσειν deesse. REISK.

Ἐκεῖνος μὲν τοίνυν καὶ ὑπὸ σοῦ] Post καὶ videtur αὐτὸς deesse. IDEM.

Καὶ ὁ Ξενοφῶν ὁ στρεβλωθεὶς, καὶ Ἱππίας ὁ Θάσιος] Si Hippias ὁ Θάσιος, quare non καὶ Ξενοφῶν ὁ Καρεὺς στρεβλωθείς? mirum ni iste vox excideriit. et ita eos recensuit supra, καὶ Ἱππίας μὲν ὁ Θάσιος, καὶ Ξενοφῶν ὁ Καρεύς. ut aut abjiciendum sit ὁ Θάσιος, vel addendum Καρεύς. sed hoc potius. Sic infra, Θρασύβουλός τε ὁ Καλλαίσχρου καὶ Ἀπολλόδωρος ὁ Μαγνήτης. MARKLAND.

Μεθέξεις τῆς τε πολιτείας] Legendum videtur τῆς τότε πολιτείας: ut Orat. XVI. οὐδὲ μετέσχε τῆς τότε πολιτείας. Supra hac Oratione: ἐναντιούμενος τῇς τότε καθεστηκύιαις πράγμασι. Dion. Halicarnassensis Libello περὶ τῆς Δημοσθ. δεινότητος: συμφέρει τὸν ἐπὶ τῶν πραγόντων πολιτεύειν τῇ τότε καθεστώσῃ. Sequitur, ἀπηχθέσι;

τῆς [1]τε πολιτείας καθισταμένης, ἀπέγραφες καὶ ἀπέ- 485
κτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

ιέ. Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδεῖξαι οἵων ἀνδρῶν ὑπ' Ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν [2]οὖν οὐ πολλοὶ ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε, νῦν δὲ συλλήβδην περὶ πάντων. οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις μείζω τὴν πάλιν τοῖς διαδεχομέναις στρατηγοῖς παρεδίδοσαν 486
οἱ δὲ ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες καὶ τριηραρχίας πολλὰς τριηραρχήσαντες [3]οὐδεπώποτε ὑφ' ὑμῶν οὐδεμίαν αἰτίαν αἰσχρὰν ἔσχον. οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὡμῶς καὶ θάνατος αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε· φυγόντες [4]γὰρ ἐνθένδε, καὶ οὐ συλληφθέντες οὐδὲ ὑπομείναντες

[1] τότε R. A. [2] οὖν om. T. R. A. [3] οὐδεπώποτε οὐδ' ὑφ' ὑ. οὐδεμίαν τὴν αἰτίαν T. [4] [γὰρ] R. om. A.

τρεῖς ὄντες ἐᾶσαι ἡμᾶς ἔτι προθυμοτέρους γενέσθαι. δεόμεθα 20
οὖν ὑμῶν πρὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ, ὅτῳ μέν
εἰσιν υἱεῖς, τούτων ἕνεκεν ἐλεῆσαι· ὅστις [3] δ' ἡμῖν ἠλιτιώτης
696 τυγχάνει ἢ τῷ πατρὶ, ἐλεήσαντες ἀποψηφίσασθε, καὶ μὴ
ἡμᾶς βουλομένους εὖ ποιεῖν τὴν πόλιν ὑμεῖς κωλύσητε. δεινὰ
δ' ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσωθημεν, οὓς
εἰκὸς ἦν διακωλύειν μὴ σώζεσθαι, παρ' ὑμῶν δὲ μηδὲν
[4] εὑρησόμεθα τοῦ σωθῆναι.

[1] Ἐλέησατε A. [2] αὐτῷ ὄντες, T. αὐτῷ, ἀκαίρους A. [3] δ' om. F.
[4] εὑρησόμεθα ἄξιοι τοῦ A.

Ἐλέησατε] Π. ἐλεήσητε. H. STEPHAN.

Ἀπολεῖτε, πῶς ἢ οὕτως ἡμῖν — ἢ ἡμεῖς ἀλλήλοις etc.] Stephanus pro ἡμῖν et ἡμεῖς conjicit ὑμῖν et ὑμεῖς. Schottus putat locum corruptum et lacerum. Mihi omnia sana videntur, si recte capiatur ἀπολεῖτε perditis, scil. exilio: prout ex sequentibus patet. Sic Orat. XVIII. ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι, ubi de *mulcta* loquitur. Demosthenes πρὸς Εὐβουλ. ὥσπερ φυγάδος ἤδη μου ὄντος, καὶ ἀπολωλότος, ubi ultima vox de *exilio* capienda est, et ita ἀπολέσητε paulo post, ad finem istius Orationis. Paulo ante pro ἐλέησατε recte Stephanus ἐλεήσητε, et mox ὅστις δὲ ἡμῖν pro ὅστις ἡμῖν. MARKLAND.

Ἐν τῷ αὐτῷ] Comma, quod olim pone ὄντες stabat, tollendo illuminavi sententiam. ἐν τῷ αὐτῷ idem est atque ὁμοῦ, vel ἅμα. Est ergo idem, ac si dixisset: ὄντες ἀνάξιοι ὑμῶν ἅμα, καὶ τῆς πόλεως, *si simul vobis et vestræ civitati simus dedecori.* Sunt autem civitatibus et judicibus dedecori hi cives, qui, cum bene de republica meriti fuissent, condemnati iniquis judiciis et ad miserrimam paupertatem redacti, civitati immemorem animum, et judicibus cupiditatem atque iniquitatem ita exprobrant, ut Plinius junior domum nimis caro emptam domino intuenti stultitiam ait exprobrare. Indignum enim est illustri civitate, cui magnos et excelsos par est animos esse, civium ingentia de se merita oblivisci, aut injuriis ulcisci. Indignum est fame et æquitate judicum, iniquis judiciis insontes pessumdare. REISK.

Ὅστις ἡμῖν] Π. ὅστις δὲ ὑμῖν. H. STEPHAN. TAYLOR.

Τῷ πατρὶ] Post τῷ πατρὶ videtur τὴν ἡλικίαν deesse. REISK.

Εὑρησόμεθα] Aut post εὑρησόμεθα, aut post σωθῆναι deesse videtur ἄξιον. *si a vobis nihil impetremus, quod tanti sit, ut operæ pretium fecisse videamur, nos ex hostium telis et captivitate liberando.* σωθῆναι hic non est judicio absolvi, sed vitam et corpus salvum e bellis domum referre. Vel etiam sic legi possit: μηδὲν εὑρησόμεθα δικαίως ἀνάξιοι τοῦ σωθῆναι, scil. παρ' ὑμῶν. IDEM.

ΛΥΣΙΟΥ

ΑΠΟΛΟΓΙΑ ΔΩΡΟΔΟΚΙΑΣ

ΑΠΑΡΑΣΗΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Oratio egregia et luculenta, in qua Reus (quisquis demum sit) suspicionem δωροδοκίας a se amoliturus, commendo totius vitæ institutæ et plurima in remp. merita, non ex lege, sed propria voluntate profecta. Nonnullis video fraudem fuisse orationis initium, quibus exordium malique alia deesse constat. Verbis uter postremi editoris. Pag. ed. H. Steph. Pag. ed. Reisk.

161. 31 α'. ΠΕΡΙ μὲν τῶν κατηγορημένων, ὦ ἄνδρες δικασταὶ, 697
ἱκανῶς ὑμῖν ἀποδέδεικται· ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων
ὑμᾶς ἀξιῶ, ἵν' ἐπίστησθε περὶ [1]οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖ- 698
σθε. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμπου ἄρχοντος,
35 καταστὰς δὲ χορηγὸς τραγῳδοῖς ἀνήλωσα τριάκοντα μνᾶς,
καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ δισχιλίας
δραχμὰς, ἐπὶ δὲ Γλαυκίππου ἄρχοντος εἰς πυρρίχιστὰς
Παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας· ἔτι δ' ἀνδράσι
χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος ἐνίκησα, καὶ
ἀνήλωσα σὺν τῇ τοῦ τρίποδος ἀναθέσει πεντακισχιλίας

[1] ὅτου T. R.

ΑΠΑΡΑΣΗΜΟΣ] ΑΠΑΡΑΣΗΜΟΣ ΚΑΙ ΤΕΛΕΙΟΣ. Cont. Nescio, an ad laudem hoc adjectum sit a magistellulis, cum contrarium in vituperationem addoci videam. Aristoph. Acharn. 516.

'Αλλ' ἀνδράρια μοχθηρὰ, παρακεκομμένα,
"Ατιμα καὶ παράσημα καὶ παράξενα·

Uti quoque παράσημον νόμισμα et ῥέτωρ παράσημος. Videantur Harpocr. et Lexicographi. Tantundem scio, quid sibi velit Hesych. in hac voce exponenda: 'Απαράσημον· ἀσυνάστατον, ἀπαρεγχείρητον. Unum hoc scio, exstare in libris editis Antiphontis orationem cum eadem nota, eamque (quicunque demum recte) male certe intellexisse Palmerium, qui interpretatus est, sine nomine. 'Απολογία δωροδοκίας ἀπαρασήμου Cod. Vatic. TAYLOR. Mihi videtur Palmerius verum vidisse, vocabulum ἀπαράσημος interpretans, sine nomine. Caret hac oratio nomine rei sese defendentis. Nomina reorum sunt σημεῖα, notæ, unde oratorum Atticorum et Romanorum orationes inter se distinguuntur. Qui orationes illas duas in Midiam s. c. et in Cononem, aut pro Roscio Amerino et pro Milone inter se distinguas, ubi signa ipsarum, nomina reorum, ipsis detraxeris? REISK.

Παρὲ ὅτου τινὸς ἐμοῦ ψηφιεῖσθε] Scribe: οἵου τινὸς ἐμ. Exempla ubique. MARKLAND. et in edit. min. TAYLOR.

Τρίτῳ μηνὶ] Subaudi μετὰ ταῦτα. REISK.

δραχμὰς, καὶ ἐπὶ Διοκλέους Παναθηναίοις τοῖς μικροῖς κυκλικῷ χορῷ τριακοσίας. τὸν δὲ μεταξὺ χρόνον ἐτριηρ- 40
699 ἄρχουν ἑπτὰ ἔτη, καὶ ἐξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας δαπάνας δαπανώμενος, καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν, ὅμως [1] εἰσφορὰν τὴν μὲν τριάκοντα μνᾶς, τὴν δὲ τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. ἐπειδὴ δὲ κατέπλευσα ἐπὶ Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασι-
ἄρχουν εἰς Προμήθεια, καὶ ἐνίκων ἀναλώσας δώδεκα μνᾶς. καὶ ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ, καὶ ἀνήλωσα 162. 1
πλέον ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ Εὐκλείδου ἄρχοντος
700 κωμῳδοῖς χορηγῶν Κηφισοδότῳ ἐνίκων, καὶ ἀνήλωσα σὺν τῇ τῆς σκευῆς ἀναθέσει ἑκκαίδεκα μνᾶς· καὶ Παναθηναίοις τοῖς μικροῖς ἐχορήγουν πυρρίχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα ἑπτὰ μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἀμιλλώμενος ἐπὶ Σουνίῳ, 5
ἀναλώσας πεντεκαίδεκα μνᾶς. χωρὶς δὲ ἀρχιθεωρίας καὶ ἀρρηφορίας καὶ ἄλλα τοιαῦτα, εἰς ἃ ἐμοὶ δεδαπάνηται πλέον ἢ τριάκοντα μναῖ. καὶ τούτων ὧν κατέλεξα, εἰ ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ λειτουργεῖν, οὐδ' ἂν τὸ τέταρτον μέρος ἀνήλωσα.

[1] εἰσφορὰς A.

Κυκλικῷ] Vel κυκλίῳ, ut alii plerique. Plutarch, in Andocide, fin. Καὶ αὐτὸς δὲ ἐχορήγησε κυκλίῳ χορῷ τῇ αὐτοῦ φυλῇ ἀγωνιζομένῳ διθυράμβῳ, καὶ νικήσας ἀνέθηκε τρίποδα ἐφ' ὑψηλοῦ, ἄντικρυς τοῦ θωρίκου σελίνου. Suid. in Πύθιον: Πύθιον ἱερὸν Ἀπόλλωνος Δήλιοι, ὑπὸ Πεισιστράτου γενόμενον, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν, οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ Θαργήλια. Sed utroque modo scribitur, unde textum Horatii in Arte Poetica 136. sollicitare non debuit Bentleius ὁ κριτικώτατος. Taylor.

Τὸν δὲ μεταξὺ χρόνον] Intelligo a Theopompo archonte ad Alexiam. Auger.

Ἑπτὰ ἔτη] Vir doctissimus nescit, unde hæc dici possint, quoniam inter Theopompi et Dioclis præturam, non septennium, sed unus tantum annus intercessit. Itaque suo acumine, id est nullo, corrigit: τὸν δὲ μεταξὺ χρόνον ἐτριήραρχουν, ἑπτὰ ἔτη ὧν καὶ ἐξ τάλαντα ἀνήλωσα. Vir ille doctissimus est S. Petit. in Commentario de LL. Atticis, p. 265. Sed fallitur, neque enim per τὸν μεταξὺ χρόνον illud tempus designatur. Nam ut procedente oratione discimus, Reus triremi præfuit, sub Imperio X. virorum, et in prœlio ad Arginusas, et Alexia prætore domum rediit, quem omnia gesta sunt Olymp. 93. post Theopompi, Glaucippi et Dioclis præturas altera. Et profecto si a Theopompo ad Alexiam numeres, anni erunt totidem, quot exhibentur. Taylor.

Ὅμως εἰσφορὰν, τὴν μὲν, — τὴν δὲ, — εἰσενήνοχα] Lege: εἰσφοράς. Patet ex Distributivis, τὴν μὲν, τὴν δὲ. Markland.

Κηφισοδότῳ] Videtur hic saltandi magister fuisse, cujus arti debebat hoc defensor hujus causæ, quisquis fuit, ut chorus sub ipso productus reliquos choros saltando vinceret. Reisk. *choregum agens Cephisodoto*, i.e. choregum agens, dum Cephisodotus esset chori dux vel magister. Auger.

Τριήρει μὲν] Μὲν hoc respondet opposito δὲ, non proximo, sed illi, quod p. 517. 1. legitur, in illis τὸν δὲ χρόνον, ὃν — Reliqua χωρὶς δὲ ad μέρος ἀνήλωσα pro parenthetis seu interjectis habeo. Reisk.

Ἀρχιθεωρίας καὶ ἀρρηφορίας] Possit videri ἐνίκησα subaudiri oportere, verum ἐλειτούργησα, vel tale quid malim. Idem. Ad hos accusativos repete πένεσα, subaudi κατὰ, et intellige ἀρχιθεωρίας et ἀρρηφορίας munera quædam publica, in quibus certamen erat inter gerentes, et præmia victoribus. Auger.

Β'. Τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά μοι ἔπλει παντὸς τοῦ στρατοπέδου. τεκμήριον δὲ τούτου ὑμῖν μέγιστον ἐρῶ. πρῶτον μὲν γὰρ Ἀλκιβιάδης, ὃν ἐγὼ περὶ πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι, οὔτε φίλος ὢν οὔτε συγγενὴς οὔτε φυλέτης ἔπλει ἐπὶ τῆς ἐμῆς νεώς. καίτοι ὑμᾶς οἶμαι εἰδέναι ὅτι στρατηγὸς [1] ὢν, ᾧ ἐξῆν ποιεῖν ὅ τι ἐβούλετο, οὐκ ἄν ποτε ἀνέβη ἐπ' ἄλλην ναῦν εἰ μὴ τὴν ἄριστα πλέουσαν, μέλλων αὐτὸς [2] κινδυνεύσειν. ἐπειδὴ δὲ [3] ἐκείνους 701
μὲν ὑμεῖς ἐπαύσατε τῆς ἀρχῆς, τοὺς δὲ μετὰ Θρασύλλου δέκα εἵλεσθε, οὗτοι πάντες ἐβούλοντο ἐπὶ τῆς ἐμῆς νεὼς πλεῖν, ἀνέβη μέντοι πολλῶν λοιδοριῶν αὐτοῖς γενομένων Ἀρχέστρατος ὁ [4] Φρεάρριος, ἀποθανόντος δὲ τούτου ἐν Μιτυλήνῃ, [5] Ἐρασινίδης μετ' ἐμοῦ συνέπλει. καίτοι οὕτω παρεσκευασμένην τριήρη πόσα οἴεσθε ἀνηλωκέναι χρήματα, ἢ πόσα τοὺς πολεμίους εἰργάσθαι κακὰ, ἢ πόσα τὴν πόλιν εὖ πεποιηκέναι; τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος στρατηγοῦ — ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ [6] καὶ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμ- 702
φορὰν —, ἐγὼ τήν τε ἐμαυτοῦ ναῦν ἐκόμισα καὶ τὴν Ναυσιμάχου τοῦ Φαληρέως ἔσωσα. καὶ ταῦτα οὐκ ἀπὸ τύχης [7] ἐγένετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς· εἶχον γὰρ χρήμασι πείσας κυβερνήτην Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν Ἑλλήνων ἄριστος εἶναι, παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς ἐκεῖνον καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκό-

[1] ὢν om. T. R. A. [2] κινδυνεύειν T. [3] ἐκεῖνοι A. [4] Φρεάριος T. A. [5] Ἐρασινείδης T. R. A. [6] δὲ T. [7] ἐγίγνετο T. R. A.

Ἐκείνους] Potius ἐκεῖνον, Alcibiadem sc. TAYLOR. Scribendum ἐκεῖνον, sc. Alcibiadem: de quo loquebatur verbis præcedentibus. Paulo post, Ἐρασινείδης idem opinor est, quem Thucydides et Xenophon Hellen. I. sæpe vocant Ἐρασινίδην. et pro Θρασύλλου Idem scribit Θρασύλου. MARKLAND. Vulgata bene videtur habere. Alcibiadem cum reliquis novem ejus collegis. REISK.

Αὐτοῖς] Melius forsan legeretur ἀλλήλοις. AUGER.

Στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ), ἐπειδὴ δὲ τοῖς τριηράρχοις — συμφορᾶν. ἐγὼ etc.] Stephanus delet δέ. Pro eo legendum puto καί, et locum ita distinguendum: εἰδότός μοι συμπλέοντος στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ καὶ τοῖς τριηράρχοις ὠργίσθητε — συμφορᾶν), ἐγὼ τήν τε ἐμαυτοῦ etc. MARKLAND. Conformavi locum hunc ad mentem Marklandi. Ut etiam hujus rei mentionem faciam, quæ gloriosa mihi est, solus ego inter omnes trierarchos navem meam salvam domum reduxi, meismet auspiciis, tametsi nullus mecum esset imperator. Nam cæteri trierarchi rem ita gesserunt male, ut ipsis perinde, atque imperatoribus, succenseretis. REISK.

Πρὸς ἐκεῖνον] F. πρόσπλουν. TAYLOR. Vehementer errat vir doctus. optime habet vulgata. milites classiarii et remiges ad bonum gubernatorem qui sunt, hi sunt ei pares atque consentanei, eo digni, perinde

λουθον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες ἐκεῖ τῶν στρατιωτῶν. κάλεσον [1] δὲ καὶ Νυσίμαχον.

ΜΑΡΤΥΡΙΑ.

αἱ μὲν τοίνυν σωθεῖσαι τῶν νεῶν δώδεκα ἦσαν· ἐγὼ δ' ὑμῖν δύο ἐκόμισα, τὴν ἐμαυτοῦ καὶ τὴν Ναυσιμάχου τριήρη.

703 γ'. Καὶ οὕτω πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν κεκινδυνευκὼς καὶ τοσαῦτα ἀγαθὰ εἰργασμένος τὴν πόλιν, [2] νυνὶ δέομαι οὐ δωρεὰν, ὥσπερ ἕτεροι, [3] ἀντὶ τούτων παρ' ὑμῶν λαβεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν ἐμαυτοῦ, ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι παρά τε ἑκόντος ἐμοῦ καὶ παρ' ἄκοντος λαμβάνειν. καὶ οὐ τοσοῦτόν μοι μέλει εἴ με δεῖ τὰ ὄντα ἀπόλεσαι· ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι, οὐδὲ παραστῆναι τοῖς διαδυομένοις τὰς λειτουργίας, ἐμοὶ μὲν ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνηλωμένα, ἐκείνους δὲ δοκεῖν ὀρθῶς βεβουλεῦσθαι, ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν σφετέρων αὐτῶν. ἂν οὖν ἐμοὶ πεισθῆτε, τά τε δίκαια ψηφιεῖσθε καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρήσεσθε. ὁρᾶτε γὰρ, ὦ ἄνδρες

704 δικασταὶ, τὰ [4] προσιόντα τῇ πόλει ὡς ὀλίγα ἐστὶ, καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστηκότων ἁρπάζεται· ὥστ' ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον βεβαιοτάτην τῇ πόλει, τὰς οὐσίας τῶν [5] ἐθελόντων λειτουργεῖν. ἂν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον ἐπιμελήσεσθε τῶν ἡμετέρων χρημάτων ἢ τῶν ἰδίων τῶν ὑμετέρων αὐτῶν, εἰδότες ὅτι ἔξετε πᾶσι χρῆσθαι τοῖς ἡμετέροις ὥσπερ καὶ πρότερον. οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι, ὅτι τῶν ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι

[1] δέ μοι ὅμως Ναυσίμαχον A.
[2] νῦν T. R. A.
[3] ἀντὶ τούτων om. T.,
[4] προσόντα T.
[5] Σελόντων T. R. A.

boni atque ille est. Valet idem atque insequens ἀκόλουθον. REISK.

Ναυσίμαχον] Ναυσίμαχον cum Palm. et Schott. TAYLOR. Roote: nisi ibi legendum Ναυσιμάχου. MARKLAND. Καὶ ante nomen hoc proprium aut deletum velim, aut cum μοι, aut cum μοι ὅμως mutatum. REISK.

Ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι] Conjunctio καὶ, quæ nullius usus est hoc loco, videtur innuere aliquid deesse. Forte: ἡγούμενος ἐμοὶ (vel ἐμοί τε) δεινὸν, καὶ ὑμῖν αἰσχρὸν εἶναι. Sic ad fin. Orat. ἡγουμένους ἡμῖν μὲν δεινὸν, ὑμῖν δὲ αἰσχρὸν εἶναι, al etc. Mox: οὐδὲ παραστῆναι τοῖς διαδυομένους τὰς λειτουργίας, vertenda erant, neque exemplum præbere iis, qui detractant (vel subterfugiunt) munera publica. Male Vanderbeidius et confuse: si publicis ministeriis fungentes nihil præcipuum habeant præ iis, qui eadem detrectare solent. ἀδιδυσίνει τὰς λειτουργίας vocat Demosth. πρὸς Λεπτίνην, quod Noster διαδίεσθαι. et ἀναχώρησιν καὶ διαδίεσθαι, adv. Phænippum. MARKLAND.

Ἐκείνους] Rectius ἐκείνας. TAYLOR.

Τὰ προσιόντα] Sic dedi de meo, pro προσόντα vulgari. vectigalia reipublicæ. REISK.

ταμίας τῶν τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. ἐὰν δέ μὲ πένητα ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδυνήσετε· ἕτεροι δὲ καὶ ταῦτα διανεμοῦνται, ὥςπερ καὶ τἄλλα.

163. 1 δ'. Ἄξιον δέ ἐστιν ἐνθυμηθῆναι, ὅτι πολὺ μᾶλλον ὑμῖν προσήκει τῶν ὑμετέρων ἐμοὶ διδόναι ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι, καὶ πένητα γενόμενον ἐλεῆσαι μᾶλλον ἢ πλουτοῦντι φθονῆσαι, καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς ἄλλους εἶναι τοιούτους πολίτας, ἵνα τῶν μὲν ἑτέρων [1] μὴ ἐπιθυμήσωσι, τὰ δὲ
5 σφέτερα αὐτῶν εἰς ὑμᾶς ἀναλίσκωσιν. ἡγοῦμαι δ', ὦ ἄνδρες 705
δικασταί, — καὶ μηδεὶς ὑμῶν ἀχθεσθῇ — πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν, ἢ ἐμὲ νυνὶ κινδυνεύειν ὡς τοῦ δημοσίου χρήματα ἔχοντα. τοιοῦτον γὰρ ἐμαυτὸν τῇ πόλει παρέχω, ὥςτ' ἰδίᾳ [2] μὲν φείδομαι, δημοσίᾳ δὲ λειτουργῶν ἥδομαι, καὶ οὐκ ἐπὶ ταῖς
10 περιαυσι μέγα φρονῶ, ἀλλ' ἐπὶ τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις, 706
ἡγούμενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι, τὴν δὲ οὐσίαν ἑτέρους μοι καταλιπεῖν, καὶ διὰ ταύτην μὲν ὑπὸ τῶν ἐχθρῶν ἀδίκως συκοφαντεῖσθαι, δι' ἐκείνα δὲ ὑφ' ὑμῶν [3] δικαίως σώζεσθαι. ὥςτ' οὐκ ἂν εἰκότως ἕτεροί με ἐζητήσαντο παρ'

[1] μὴ om. T. [2] μὲν τῶν T. R. μὲν τῶν ἐμῶν A. [3] δικαίως ἂν A.

Καὶ ὑμᾶς] Si καὶμὲ hic non deest, subaudiendum certe est. *non me solum, sed una vos ipsos quoque lædetis.* IDEM.

Καὶ ταῦτα] *etiam hæc bona mea administrabunt pari, atque reliqua vestra administrant, modo,* h. e. rapacitate atque furacitate. IDEM.

Τοιούτους πολίτας] Qualis nempe ego erga vos fui. IDEM.

Ἐπιθυμήσωσι] Μὴ ἐπιθυμήσωσι. CONT. SCHOTT. Recte. Sic Orat. XXV. ἐν ὀλιγαρχίᾳ μὲν μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων, ἐν δημοκρατίᾳ δὲ τὰ ὄντα εἰς ὑμᾶς ἀναλίσκειν. ubi eadem omnia. MARKLAND. Addidi μὴ, quod vulgatis deest. τῶν ἑτέρων idem est atque τῶν ἑτέρας ὄντων ἀγαθῶν. *bonorum quæ sunt in aliorum potestate.* Fuit, cum suspicarer legendum τῶν μὲν γερῶν. *præmia virtutis quidem appetant,* cujusmodi sunt honores in republica, imagines, statuæ, tituli saxis insculpti, convictus in Prytaneo, coronæ aureæ. illa autem præmia sua in rempublicam liberalitate promererentur. REISK.

Τῶν φείδομαι] Τῶν ἐμῶν φειδ. CONT. Vel dele istud τῶν, vel lege eum vivo erudito τῶν ἐμῶν. Utrumvis erit necessarium. Prius malim. TAYLOR. Legò: τῶν ἐμῶν φείδομαι. ut supra: τῶν ὑμετέρων ἐμοὶ διδόναι, ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι. et paulo ante: τῶν ἐμῶν ἐγὼ πολὺ ζηλωτὴν ὑμῖν ἴσομαι ταμίας. Potes etiam legere: τῶν ὄντων φείδομαι. MARKLAND. Aut cum viris doctis ἐμῶν est, interponendum, aut ὄντων, aut ὑπαρχόντων. Observari hic velim lusum in vocabulis φείδομαι et ἥδομαι, dignum Lysia Sophista: nisi potius ei videatur excidisse fortuito. REISK.

Ἑτέρους μοι] Ἑτέροις μοι. SCHOTT. Quam indigne homine in literis exercito! TAYLOR. Festiuanter Schottus et recte contra mentem Auctoris, ἑτέρους με καταλιπεῖν. Optime habet ἑτέροις μοι. Explicat Ovidius, noto isto, Metam. XIII. v. 140.

"Nam genus, et proavos, et quæ non fecimus ipsi,
Vix ea nostra voco."

Mox, pro σώζεσθαι malim σωθήσεσθαι. MARKLAND. Interpone ἂν potestimi, ut in re dubia, esseine absolvendus, an condemnandus. σώζεσθαι, si ἂν ἄρα σωθήσομαι. REISK.

ὑμῶν, ἀλλὰ καὶ εἴ τις τῶν ἐμῶν φίλων τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν ἠξίουν ἐμοὶ δοῦναι τὴν χάριν, καὶ εἰ παρ' ἄλλοις ἐκινδύνευον, ὑμᾶς εἶναι τοὺς δεομένους ὑπὲρ ἐμοῦ. τοῦτο [1]δ' οὐκ ἂν εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας ἐκ τῶν ὑμετέρων ὠφέλημαι, ἢ ὡς αἰσχρὰς δίκας δεδίκασμαι, ἢ ὡς αἰσχροῦ τινὸς αἴτιός εἰμι, ἢ ὡς τὰς τῆς πόλεως συμφορὰς ἀσμένως εἶδον· ὑπὲρ ἁπάντων δὲ καὶ [2][τῶν] ἰδίων καὶ
707 [3]τῶν δημοσίων οὕτως ἠγοῦμαί μοι πεπολιτεῦσθαι, καὶ ὑμᾶς εἰδέναι, ὥστε οὐδὲν [4]δεῖν με ἀπολογήσασθαι περὶ αὐτῶν. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, τὴν αὐτὴν ὑμῶν περὶ ἐμοῦ γνώμην ἔχειν ἥπερ καὶ ἐν τῷ τέως χρόνῳ, καὶ μὴ μόνον τῶν δημοσίων λειτουργιῶν μεμνῆσθαι, ἀλλὰ [5]καὶ τῶν ἰδίων ἐπιτηδευμάτων ἐνθυμεῖσθαι, ἡγουμένους ταύτην εἶναι τὴν λειτουργίαν ἐπιπονωτάτην, διὰ τέλους τὸν πάντα χρόνον κόσμιον εἶναι καὶ σώφρονα, καὶ [6]μήθ' ἡδονῆς ἡττηθῆναι μήθ' ὑπὸ κέρδους ἐπαρθῆναι, ἀλλὰ τοιοῦτον παρασχεῖν ἑαυτὸν ὥστε μηδένα τῶν πολιτῶν μήτε μέμψασθαι μήτε δίκην τολμῆσαι [7]προσκαλέσασθαι.

708 ε'. Οὔκουν ἄξιον, ὦ ἄνδρες δικασταί, πεισθέντας κατηγόροις τοιούτοις ἐμοῦ καταψηφίσασθαι, οἳ περὶ ἀσεβείας μὲν ἀγωνιζόμενοι τηλικοῦτοι γεγόνασιν, [8]οὐ δυνάμενοι δ' ὑπὲρ τῶν σφετέρων ἁμαρτημάτων ἀπολογήσασθαι ἑτέρων

[1] γε εἰπεῖν T. R. A. [2] [τῶν] om. T. R. A. [3] τῶν om. T. A. [4] δεῖ T. [5] καὶ om. T. [6] μήθ' ὑφ' T. R. A. [7] προκαλέσασθαι T. R. [8] οὐκ ἂν δυν. T. R. A.

Τοῦτό γε εἰπεῖν κ. τ. λ.] Οὐδὲ τοῦτό γε. CONT. Cum interrogatione hæc omnia, ut recte animadvertit Stephanus. Quod cum non animadvertit Scaliger, legit: τοῦτό γε εἰπεῖν οὐκ ἔχοι τις. TAYLOR. Lego: τοῦτο εἰπεῖν οὐκ ἂν ἔχοι τις. sic infra: οὐ γὰρ ἂν ἔχαμι ὅ, τι μεῖζον αὐτοῖς ξυξαίμην κακόν. Passim hæc phrasis occurrit. Stephanus vulgatæ interrogationem addit, eodem sensu. Sed Lysianus scribendi mos istud alterum postulat, nisi fallor. MARKLAND. Videtur sic leg. δεόμενος ὑπὲρ ἐμοῦ. ἀλλ' οὐδὲ κατ' ἐμοῦ τοῦτό γε. REISK.

Αἴτιός εἰμι] Interpouendum videtur ὑμῖν. IDEM.

Δέομαι οὖν ὑμῶν, κ. τ. λ.] Hæc citantur a Suida in τέως, licet corrupte. Ubi observare est auctoris nomen excidisse, orationis solummodo conservari. TAYLOR.

Δίκην τολμῆσαι προκαλέσασθαι] Lege: προσκαλέσασθαι. Orat. VI. προσκαλέσατο δίκην ἀσεβείας πρὸς τὸν βασιλέα. Harpocration: προσκαλέσασθαι, τὸ παραγγέλλειν εἰς δίκην. Vide Pollucem VIII. 6. segm. 39. et Viros doctos ad segm. 61. ejusdem Libri. Δίκην προσκαλέσασθαι idem videtur ac εἰς δίκην προκαλέσασθαι. Xenophon Hellen. VII. 4. 11. καὶ δίκας τῶν φλιασίων προσκαλουμένων, οὐκ ἐδίδοσαν. ubi tamen Leunclavius mavult προκαλουμένων. MARKLAND. Leg. videtur μήτ' εἰς δίκην τολ. προσκαλ.

Τηλικοῦτοι] Potest pariter ad potentiam atque ad ætatem referri. Priorem modum in Latinis meis expressi; sin autem posteriorem præferas, erit hæc sententia: In perpetuis contentionibus forensibus, iisque in causis gravissimis et capitalibus, ut sunt causæ impietatis, ad hoc, quod agunt, ætatis provectioris perveneruut. REISK.

κατηγορεῖν τολμῶσι. καὶ ἐὰν Κινησίας οὗτω διακείμενος πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ τῶν τῆς πόλεως ἀγωνιοῦσι. καὶ ἐξ ὧν μὲν ἡ πόλις εὐδαίμων ἔσται, οὐ συμβαλοῦνται, πάντα δὲ ποιοῦσιν ὅπως ὑμεῖς τοῖς εὖ πεποιηκόσιν [1] ὀργισθήσεσθε. οὗτοι μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐν τῷ δήμῳ κατείποιεν ὑμῖν τὰ σφέτερα αὐτῶν ἐπιτηδεύματα· οὐ γὰρ ἂν ἔχοιμι ὅ τι τούτου μεῖζον αὐτοῖς 709
εὐξαίμην κακόν· ἐγὼ δ' ὑμῶν δέομαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ μὴ καταιγνῶναι Δωροδοκίαν ἐμοῦ, μηδ' ἡγήσασθαι τοσαῦτα χρήματα εἶναι, ἃ [2] ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ πόλει γενέσθαι. μαινοίμην γὰρ, ὦ ἄνδρες δικασταί, εἰ τὴν μὲν πατρῴαν οὐσίαν φιλοτιμούμενος εἰς ὑμᾶς ἀνηλίσκοιμι, ἐπὶ δὲ τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων Δωροδοκοίην. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὐκ οἶδ' οὕστινας ἢ ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ χρὴ τοὺς εὖ πεποιηθότας περὶ τῶν εὖ πεποιηκότων εὔχεσθαι τὴν ψῆφον φέρειν. καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταί, — ἐπιθυμῶ γὰρ καὶ τούτων μνησθῆναι — οὐδεπώποτε λειτουργεῖν ὑπὲρ ὑμῶν δέον [3] ἐμνήσθην εἰ [4] τοσούτῳ πενεστέρους τοὺς παῖδας κατα- 710
λείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ προθύμως ποιήσω τὰ προσταχθέντα· οὐδ' εἴ ποτε κινδυνεύσειν ἐν ταῖς ναυμαχίαις μέλλοιμι, οὐδεπώποτ' ἠλέησα οὐδ' ἐδάκρυσα οὐδ' ἐμνήσθην

[1] ὀργισθῆσθε T. [2] ἐγὼ περιδέους βουλ. A. [3] ἐλογισάμην A. em. T. R. [4] τοσοῦτον T.

Ὧν Κινησίας]. Addunit in comparationem Cinesiam, eo quod vulgo habebatur parum virilis et mulierosus, et eo nomine traducitur ab Aristophane in Lysistrata. PALMER. Non intelligo. Cæterum de hoc Cinesia vide Harpocrationem; cujus tempore exstabant Duæ Orationes Lysiæ in eum scriptæ. MARKLAND. ὧν refertur ad οὗτοι. *et hi quibus plures expeditiones Cinesias*, i. e. et hi indignantur de rebus civitatis, quum Cinesias plures quam ipsi expeditiones fecerit. AUGER.

Ἃ ἐγὼ] Ἃ ἐγὼ λαβὼν. CONT. Rectius ἂν ἐγὼ, Scal. TAYLOR. Sensui aliquid deest. Forte: ἃ ἔχων ἐβουλήθην ἂν etc. *neque ullas pecunias tantas esse putetis, ut, iis acceptis, vellem aliquid infortunii civitati obvenire.* Orat. XXVIII. οὐκ ἔστι τοσαῦτα χρήματα, ἂν ὑμεῖς ἐτυθήσεσθε, ἔστε μὴ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας. et XXIX. οὐκ ἔστι τοσαῦτα χρήματα ἃ ὑμεῖς, οὓς ἐὰν λαμβάνητε ἀδικοῦντας, ἀνατρέψει τιμωρεῖσθαι. Nisi malis: περὶς ἃ ἐγὼ βουληθείην, vel ἃ ἐγὼ λαβὼν βουληθείην. eodem sensu. MARKLAND. Interponendum videtur λαβὼν aut δεξάμενος. REISK.

Οὕστινας] Οὕστινας ἄλλους. CONT. Subaudi ἄλλους μᾶλλον. Sed ἂν addi velim. ut si sic dixisset: οὐκ οἶδ' οὕστινας ἄλλους μᾶλλον ἄν, ἢ ὑμᾶς ἐβουλήθην. REISK.

Δίον] Post δίον videtur ἐλυπήθην, vel potius ἐνεθυμήθην deesse. IDEM.

Εἰ τοσοῦτον] Ἐλογισάμην εἰ τοσοῦτον, aut aliquid simile suppleri jubet Schott. [et Contius]. ἐλυπησάμην alii. TAYLOR. Tale aliquid certe deest. MARKLAND. Subaudi ὅσον ἂν ἐγὼ εἰς ὑμᾶς ἀναλίσκοιμι. REISK.

Ἠλεήσα] Perinde esse puto, sive absolute hic positum habeatur hoc verbum pro sensu commiserationis affici, sive respe-

γυναικὸς οὐδὲ παίδων τῶν ἐμαυτοῦ, οὐδ' ἡγούμην δεινὸν
εἶναι εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον ὀρφανοὺς
καὶ πατρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ
μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὠνείδη καὶ ἐμαυτῷ καὶ ἐκείνοις 164. 1
περιάψω. ἀνθ' ὧν ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ,
ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτην περὶ ὑμῶν γνώμην ἔχοντος,
ὑμᾶς νυνὶ ἐν τῷ θαῤῥαλέῳ ὄντας ἐμὲ καὶ τοὺς παῖδας τούτους
περὶ πολλοῦ ποιήσασθαι, ἡγουμένους ἡμῖν μὲν δεινὸν ὑμῖν δὲ
αἰσχρὸν εἶναι, εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις 5
711 ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων πάντες
εἶναι καὶ πολλῶν ἐνδεεῖς ὄντες περιιέναι, [1] ἀνάξια μὲν
[2] ἡμῶν αὐτῶν πεπονθότες, ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηρ-
γμένων. μηδαμῶς, ὦ ἄνδρες δικασταί· ἀλλ' ἀποψηφισάμενοι
τοιούτοις ἡμῖν χρῆσθε πολίταις οἵοιπερ ἐν [3] τῷ πρόσθεν
χρόνῳ.

[1] ἄξια T. [2] ὑμῶν T. R. A. [3] τῷ om. T.

ctu ad certum hominem, sive cum respectu ad uxorem et liberos, qui in continenti commemorantur. IDEM.

Ἐν τοῖς πανδύνοις] vestris puta, verum hoc additum malim, sive sic: ἐν τοῖς ὑμετέροις πανδύνοις, sive ἐν τοῖς πανδύνοις τοῖς ὑμετέρους. IDEM. Velim addidi ὑμετέρους juxta Reiskii mentem. AUGER.

Ἄξια] Π. ἀνάξια. H. STEPHAN. CONT. Cui Schott. suo merito malo non assentitur. TAYLOR. Quod verum puto, modo legas ἡμῶν pro ὑμῶν, ex Isocrate Orat. de Bigis, p. 703. ubi totum hunc locum imitatur; hoc vero κῶλον ita effert: ἀναξίως δ' αὐτῶν (i. e. ἡμῶν αὐτῶν) καὶ τῶν προγόνων πράττοντας. Demosthenes Orat. de Cherson. ἀνάξιον ὑμῶν, καὶ τῶν ὑπαρχόντων τῇ πόλει, καὶ πεπραγμένων τοῖς προγόνοις. MARKLAND. Dedi ἀνάξια, pro vulgari ἄξια. verum ὑμῶν tuebor. *vobis ipsis indigna*, h. e. alia quam a vobis exspectabantur et vos decebant; *et indigna nostris de vobis meritis*, h. e. alia quam meruimus officiis, quæ a nobis ad vos profecta sunt. ἡμῶν, quæ est conjectura Taylori, probari quoque potest, et confirmatur a Coisl. et Vindobon. Vulgatum ἄξια si qui tuebuntur, his interpretandum sic erit: Quo nobis eveniet id, quod vestræ quidem personæ conveniat, qui judices sitis, severitatem juris plena cum potestate arbitraria exercentes. REISK.

Ἐν τῷ πρόσθεν χρόνῳ] Ἐν τῷ πρόσθεν. CONT. Insere Articulum: ἐν τῷ πρόσθεν (vel ἐν τῷ ἔμπροσθεν) χρόνῳ. ita enim semper, opinor, loquitur. MARKLAND.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩΝ.

ΥΠΟΘΕΣΙΣ.

Placuit Atheniensibus, qui πλείστῳ τῶν ἁπάντων ἀνθρώπων ἐπιτιμᾶτε σίτῳ utebantur (verbis utor Demosthenis in Orat. c. Leptinem), multis legibus coercere eorum hominum injurias, qui annonam comprimendo et incendendo, ut loquuntur Jurisconsulti, civium fortunas atterebant. Una erat quæ sub capitis discrimine ἀνωφέλητα μαθόντα τῶν ἐν τῇ πόλει σῖτον πλείω πεντήκοντα φορμῶν συνωνεῖσθαι. Ex qua lege hic
Pag. ed. agitur. Se excusant Dardanarii, quod jubente Magistratu id fecissent, et quod ex stadio et benevolentia in remp. Pag. ed. Reisk.

H. Steph. 164. 12 α'. ΠΟΛΛΟΙ μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, 712
θαυμάζοντες ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ [1] κατηγόρουν, καὶ λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν
15 ἠγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.

β'. Ἐπειδὴ γὰρ οἱ πρυτάνεις [2] ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες 713
τῶν ῥητόρων ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα
20 ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον, νομίζων, εἰ μέν

[1] μὴ κατηγόρουν A.

[2] ἐπίδοσαν R. A.

εἰ ὡς] Εἰ καὶ ὡς. CONT.

Αὐτῶν, περὶ] Αὐτῶν, περὶ δὲ. SCAL. Malo. TAYLOR.

Ἔπειδοσαν] Dedi. subaudi τὴν διάγνωσιν. *tradiderunt, permiserunt, retulerunt.* REISK.

Οὕτως ὠργίσθησαν κ. τ. λ.] Καὶ θανάτῳ. CONT. Schottus ad emendandum minime natus ita ex suo ingenio Lysiam supplevit: οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγον, ἐπειδὰν τινὲς τῶν ῥητόρων διελίξαντο, ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι, θανάτῳ ζημιῶσαι. Quo quid levius? Tu solummodo lege: οὕτως ὠργίσθησαν a. &. l. τ. τ. β. ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι καὶ θανάτῳ ζημιῶσαι. Xenoph. Hellenic. I. 7. 10. ἂν δὲ δέξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι καὶ τοῖς ἕνδεκα παραδοῦναι, καὶ τὰ χρήματα δημοσιοῦσαι. TAYLOR. Cui bono hæc licentia, cum absque ea omnia bene habent? MARKLAND. Ad ὠργίσθησαν subaudi εἰ βουλευταί, quod latet in præmisso βουλήν. Bene habet hic locus, neque Taylor magis audiendus est, quam Schottus. παραδοῦναι θανάτῳ ζημιῶσαι, idem est atque παραδοῦναι ἐπὶ τῷ (vel πρὸς τὸ) ζημιῶσαι θανάτῳ, *tradere XI. viris, quo hi frumentarios morte punirent.* REISK.

Σιτοπώλας] Σιτοπώλους, Ald. Sed præter linguæ genium, quæ composita a πω-

εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν
714 γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς
ἀκρίτους ἀπολωλέναι. πεισθείσης δὲ τῆς βουλῆς ταῦτα,
διαβάλλειν ἐπεχείρουν με, λέγοντες ὡς ἐγὼ σωτηρίας εἵνεκα
τῆς τῶν σιτοπωλῶν τοὺς λόγους τούτους ἐποιούμην. πρὸς
μὲν οὖν τὴν βουλὴν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ [1] ἀπελο- 25
γησάμην· τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγάντων, ἀναστὰς
αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα ὅτι οὐχ ὑπὲρ
τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν.
ἠρξάμην μὲν οὖν τούτων ἕνεκα· δεδιὼς δὲ τὰς αἰτίας αἰσχρὸν
715 ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅ τι
ἂν βούλησθε ψηφίσησθε.

γ'. Καὶ πρῶτον μὲν ἀνάβηθι [2] καὶ εἰπὲ σὺ ἐμοὶ, Μέ- 30
τοικος εἶ; Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς
νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς
πεισόμενος. Ἄλλο τι οὖν [3] ἀξιοῖς ἢ ἀποθανεῖν, εἴ τι πεποί-
ηκὰς παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία; Ἔγωγε.
Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι
716 πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει. Ἐγὼ τῶν
ἀρχόντων κελευόντων συνεπριάμην.

δ'. Ἂν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταὶ, ὡς ἔστι 35

[1] ἀπελογισάμην T. [2] καὶ om. T. [3] οὐκ ἀξιοῖς R.

λέω nunquam ita formet. Corrigendus itaque Hesychius, qui habet Σιτοπάφλοι, σιτοπῶλαι. lege σιτοσῶλαι. TAYLOR.

Ἡμῶν] Docet actorem senatorem fuisse. Idem est ac si dixisset τῆς βουλῆς. REISK.

Ἐπιχείρουν] Quinam? Num deest τινές? potest fieri; verum potest quoque oratio esse integra. Corona circumstans, hujus causæ tum, quam nos hodie sumus, peritior facile norat, quos actor designaret. IDEM.

Τῶν ἄλλων] Subaudi πρυτανίων, vel βουλευτῶν. Actor ipse quoque de numero prytanum, vel senatorum est. IDEM.

Ἠρξάμην] Sub. ταύτης τῆς δίκης. AUGER.

Τὰς αἰτίας] Scil. τὰς παρὰ τῷ δήμῳ. metuens ego, ne nomen meum malignis sermonibus apud plebem differretur, ac si ego dardanariis clam studerem, et cum iis colluderem. REISK.

Μὴ ἀνάβηθι.] Scribe: μὴ ἀνάβηθι. et centies in his Orationibus. Sequitur: Εἰ πίεζυσι ἐμοὶ μίτοικος εἶ; Ναί. Scribendum πίεζουσιν ἐμοὶ, vel πίεζουσί μοι. Isted Ναί est *Responsum* Accusati, sive Rei. Sic Lucas Actor. V. 8. Εἰπὲ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ὁ δὲ εἶπε, Ναί, τοσούτου. et XXII. 27. Λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη, Ναί. MARKLAND.

Εἰ πίεζυσι ἐμοὶ μίτοικος εἶ, Ναί.] Egregie Scal. et nos textum vel invitis omnibus Codd. recudimus. Ni habuerint Codd. Groulart, qui mecum hanc locum interpretatur. TAYLOR.

Ἄλλο τι οὖν οὐκ ἀξιοῖς, ἢ ἀποθανεῖν] *ergo nullam aliam ipse tute tibi statuis, quam mortis pœnam?* Sic dedi, de meo addens οὐκ, quo vulgata carent. Qui bene respondet responsio: ἔγωγε, scil. οὐκ ἀξιῶ ἄλλο τι πάσχειν, ἢ τὸν θάνατον. Quæ responsio non sit quadratura, si οὐκ a præmissa interrogatione absit. REISK.

Ἆρ' ὡς ἐστι νόμος, ὃς κελεύει etc.] Incepto: si enim Leges *jubeant* frumentum coemere, quodnam opus, ut Archontes idem *jubeant*? Lege: ἆρ' οὐ κελεύει τοὺς σιτοπώλας etc. cui mox opponitur ἀποφαίνῃ. *si igitur ostenderit, judices, vilum esse le-*

νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὰ σῖτα, ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῶν παρεσχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει [1] πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

ε'. [2] Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἱκανὴν εἶναι 717
ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρί-
40 ασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ πειστὲ τοὺς νόμους ὁμωμόκατε ψηφιεῖσθαι· ὅμως δ', ἵνα πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας [3] ἠρωτῶμεν. καὶ οἱ μὲν δύο οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος· [4] Ἄνυτος δ' ἔλεγεν ὡς τοῦ πρότερου χειμῶνος, ἐπειδὴ τίμιος 718
165. 1 ἦν ὁ σῖτος, τούτων [4] ὑπερβαλλόντων ἀλλήλους καὶ πρὸς σφᾶς αὐτοὺς μαχρμένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονεικοῦσιν, ἡγούμενος συμφέρειν ὑμῖν, τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι· δεῖν γὰρ αὐτοὺς ἀβολῷ μόναν πωλεῖν τιμιώτερον. ὡς τοίνυν οὐ συμπεριαμένους

[1] πλείω om. T. post σῖτον ponit A. [2] χρὴ T. [3] ἐρώτων με T.
[4] ὑπερβαλόντων T.

gem, quæ non prohibeat frumentarios coemere frumentum, etiamsi præfecti jusserint; absolvite eum. Ratio hoc postulat. οὐ omittebatur ob præcedens ἐς. MARKLAND. Argumentatio Marklandi frivola et ultra quam par est, segnis est. Bene habet vulgata. REISK.

Σῖτον συντίνοντα φορμῶν] Emenda cum Stephan. [et Cant.] et Petit. ad LL. Attic. p. 420. σῖτον πλείω συντίνοντα φορμῶν. ut supra: Εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι συντίνοντα φορμῶν, δν ὁ νόμος ἐξεῖναι κελεύει. Quod ad φορμοὺς attinet, vide Aristoph. Thesmoph. 820. Hesych. Pollux. sapiscoulo, etc. Cophinus erat viminibus contextus: quantum frumenti capiebat, non liquet. Sed erat mensura genus. Fortasse eadem erat, quam Latini nominabant summarum. Arbitror ego: Nam ita Acro ad Hor. 1. Serm. I. 53. "Camera vas est ingens vimineum, vel fictile simile doliis, ubi frumentum suum reponebant Agricolæ: vel vas minus capiens quinque sive sex modios." TAYLOR. Recte Stephanus; nisi quod ordinem verborum fuisse reor: ἐν τῇ πόλει πλείω σῖτον etc. et paulo ante: Εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι. Atque hinc forte patefit erroris causa, nempe amittebatur πλείω in simili πόλει. MARKLAND.

Ἠρώτων με] Ἠρώτων αὐτούς. SCHOTT. ἠρωτῶμεν. CONT. Lectio est ἠρωτῶμεν, qui accedit Cod. Guelf. qui habet ἠρώτων μέν. TAYLOR. Lego: παρακαλέσας τοὺς ἄρχοντας ἠρωτώμην. advocatis præfectis interrogavi eos. Sobottus quoque conjecerat παρακαλέσας, et ἠρώτων αὐτούς. Legere etiam potes ἠρώμην, pro ἠρώτων με. istud propius est: hoc sæpius utitur Lysias. Vel: παρακαλέσας ἐς ἠμὶ τοὺς ἄρχοντας ἠρώτων. ἐς ἠμί, ad meam domum. MARKLAND. Exhibui, ut volebat Taylor, qui verum hic vidit: nos, Prytanes, cum arcessivissemus Archontas [magistros rerum annonariarum], interrogavimus, τοὺς σιτοφύλακας. quos numero tres fuisse, ex hoc loco constat. REISK.

Φιλονεικοῦσιν· ἡγούμενος — τούτους πρίασθαι. δεῖν γὰρ etc.] Distingue: φιλονεικοῦσιν (ἡγούμενος — τούτους πρίασθαι) δεῖν γὰρ etc. MARKLAND.

Ἀξιώτατος] Hic ἀξιώτατος vilissimus, vilissimo pretio. AUGER.

καταθέσθαι ἐκέλευεν αὐτούς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖ- 5
σθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' [1] ἐπίτηδες συνεπουόμενοι φαίνονται.

[2] ΜΑΡΤΥΣ.

719 Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνε-
πρίαντο τὸν σῖτον, ἀκηκόατε· ἡγοῦμαι δ', ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ [3] αὑτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν 10
εἰσὶ νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ δίδόναι δίκην καὶ τοὺς μὴ πειθομένους καὶ τοὺς κελεύοντας τούτοις ταναντία πράττειν;

ς'. Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οἶομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεω-
νοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον [4] ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται. 15
720 ἐχρῆν γὰρ αὐτούς, εἴπερ ὑμῶν [5] ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε· νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς

[1] ἐπὶ τῦτις R. [2] ΜΑΡΤΥΣ post παρέξομαι ponit T. [3] αὐτῶν T. A. [4] ἡμῖν T. R. A. [5] οὕνεκα T. R. A.

Παρέξομαι. ΜΑΡΤΥΣ. Καὶ ὡς] Συνεβούλευσεν· καὶ ὡς οὗτος μὲν - - - φαίνονται, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι. ΜΑΡΤΥΣ. CONT. Quae lectio certe non est improbanda. AUGER. Vox ΜΑΡΤΥΣ loco suo mota est. Repone modo post φαίνονται. TAYLOR. Vox ΜΑΡΤΥΣ in locum alienum migravit, abscissa in medio tenore suo sententia. Restitue: ὡς τοίνυν οὐ συμπριαμένους καταβίσθαι αὐτοὺς ἐπίτηδες — Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος (f. αὐτὸς) μὲν — οὗτοι δὲ — φαίνονται. ΜΑΡΤΥΣ. Deinde post testimonium Anyti pergit: Ὅτι μὲν τοίνυν οὐχ — ἀκηκόατε. MARKLAND.

Ἐπίτηδες] Dedi de meo ἔτι τῦτις. adhuc hoc anno. opponuntur enim inter se annus presens et superior. REISK.

Ὑπὲρ αὑτῶν] Rescribe: ὑπὲρ αὐτῶν. TAYLOR. Scribe: ὑπὲρ αὑτῶν. pro seipsis. τούτων, scil. τῶν ἀρχόντων. Interpretes Groularius et Vanderheidius hunc locum non ceperunt: quod mirum, cum sensus admodum obvius sit: si haec maxime vera allegent, opinor tamen eos non inde accusaturos esse seipsos, sed accusaturos esse praefectos. Sic Orat. VI. eadem sententia: καίτοι οὐχ ὑπὲρ αὐτοῦ ἀπολογήσεται, ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. quamvis ea ratione non tam se purgabit, quam alios accusabit. quemadmodum vertit ipse Vanderheidius. MARKLAND.

Τούτων] Redit ad τοὺς ἄρχοντας, vel quod idem est, τοὺς σιτοφύλακας. REISK.

Ἴσως δ' ἐροῦσιν, κ. τ. λ.] Vid. Suid. in v. Ἄξιον. εἰ βέλτιον, qui hunc locum laudat, ad mentem potius Asotoris attendens, quam αὐτολεξεὶ describens. TAYLOR.

Ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε] Passive, coemptum frumentum. quod notandum. Orat. XXXIII. ἀναλίσκειν ἀργυρίου ἐωνημένον ἀρίου. agnus sedecim drachmis emptus. Isaeus de Hered. Agn. p. 88. εἰκίαν δὲ Μελίτη, τριακοσίαις ἐωνημένην. lege: ἐωνημένην. Demosthenes περὶ Παραπρεσβ. ἃ κεν ἐχθὲς ἐωνημένος ἀνθρωπος αὐτῶν δυνα-

ἡμέρας ἐπώλουν δραχμῆ τιμιώτερον, ὥσπερ καινὰ μέδιμνον συνωνούμενοι. καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἰσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται· ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία καὶ λαθεῖν 721
αὐτοῖς συνέφερε, ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις συμφέρει· τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινὸς ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον πωλῶσιν. οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς δ' [1] αὐτοὶ λογοποιοῦσιν, ἢ τὰς ναῦς [2] διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀπορρηθήσεσθαι. καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ' ἐν τούτοις 722
τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷσπερ [3] οἱ πολέμιοι. ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν

[1] οὗτοι T. A. [2] ἐφθάρθαι T. [3] οὐδ' οἱ R.

θείη. et ita Orat. I. adv. Stephanum : et Orat. adv. Polycles. Passim ita Xenophon libello περὶ Προσόδων. MARKLAND.

Καὶ τούτων ὑμᾶς μάρτυρας παρίχομαι. δεινὸν δέ μοι] Scribe : ὑμῖν μάρτυρας παρέξομαι. MAPTYPEΣ. Δεινὸν δέ μοι etc. Fatale est Lysiam circa hanc vocem depravari. IDEM.

Οἴεσθαι] *indignum autem est, si, quum tributum est pendendum*, quod omnes persolvere debent, *refugiant et paupertatem obtendant : in iis vero, in quibus capitis poena proposita est, et præstat vos latitare, dicant, ob amorem, quo in vos feruntur, se contra leges peccasse.* GROULART. Et eodem acumine interpres alter. Sed ubi est istud, quod conqueritur δεινόν? Ubi oppositorum vivida contentio, argumentationis solertia, sensus ipse? Hinc illud profecto dici arbitror, quod vulgo dicitur: Mi homo! verba dedisti. Sed tempus est, ut Lysiæ opem feram: *jactitarunt hi dardanarii egregiam suam in rempublicam benevolentiam. Ubi autem expromta est ista tanta benevolentia? Non in alacri studio tributi pendendi*, quod palam omnibus innotesceret ; *sed in legibus, in quibus capitis res agitur, violandis*, ubi expedit esse quam occultissimis. Lego enim cum Cod. Coisl. ἢν πάντες εἰσεσθαι μέλλουσιν. TAYLOR.

Ἥκιστα] Id est, πάντων ἥκιστα. quod equidem malim sic legi. REISK.

Οὕτω λογοποιοῦσιν] Mallem : αὐτοί. *ipsi fingunt*. et pro ἐφθάρθαι, restituenda MS. lectio, διεφθάρθαι. Vide ad Orat. XX. MARKLAND. et *in edit. min.* TAYLOR. et AUGER.

Ἐκπλεούσας] Unde? e Pirmeone, an e Ponto? posterius equidem rectius arbitror. REISK. Nempe, ἐκ τοῦ Πόντου. AUGER.

Ἀπορρηθήσεσθαι] Verbum ἀπειπεῖν h. l. idem est, atque nostrate *aufsagen, einem den Kauf, den Dienst, die Miethe aufsagen. renunciare.* per nuncium ad alterum allegatam ei testatum facere, se nolle in posterum eodem pacto, quo adhuc, teneri, sed ab hoc momento rescissum id velle. REISK.

Ἐν οἷσπερ οὐδ' οἱ πολέμιοι] Particulam infitiantem de meo addidi, re ipsa id subjiciente, et præterea illa proxima εἰρήνης οὔσης confirmant. IDEM.

Ἀναρπάζουσιν] Ἀναρπάζειν τὸν σῖτον est, mandare servis ut frumentum in solaria congerant, ibique clausum et absconditum servare, neque sinere rursus in ædes inferiores deferri, quo vendatur. IDEM.

οὕτως καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγανακτῶμεν ἂν ὑπερσυτιασῶσιν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν· ὥστ' ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα. οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ πακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις οἰκίαις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας 35
723 [1] ἀπεκληροῦτε. καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὅπως καὶ τοὺς [2] οὐ δυναμένους φυλάττειν ἀποστερῆτε;

ζ'. Ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι ἀδύνατόν ἐστιν ὑμῖν ἀπογνῶναι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξει ὑμεῖς ἐπιβουλεύειν 40
τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν· ἐφ' ὑμῶν [3] γὰρ ὅπως ἕτεροι βούλεσθε πιστεύειν· νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε; ἀναμνήσθητε δὲ, ὦ ἄνδρες δικασταὶ, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν [4][λαμβάνειν]

[1] ἀπεκληροῦτε A. [2] μὴ T. R. A. [3] γάρ ἐστιν R. A. [4] uncos om. T. R. λαμβάνειν om. A.

Διαφερώμεθα] Subaudi αὐτοῖς. *ne nos emptores secum de pretio contendamus*, aut *rixemur, nolentes tantum dare quantum illi flagitent.* IDEM.

Σιτοφύλακας ἀπεκληροῦτε] Potius: σιτοφύλακας ἀπεκληροῦτε. ut ἐλάβετε. Schottus quoque σιτοφύλακας. Χωρὶς est *seorsim*, *extra ordinem.* MARKLAND.

Πολιτῶν ὄντων] Hoc eo spectat, quod in dardanariis permulti essent, non cives, sed solummodo inquilini. Quod si ergo civis respublica punit, quanto magis punire debebit peregrinos. REISK.

Ὑποτίμους] Ἐστιν ὑποτίμους. CONT. Accusatoribus puta dardanariorum, an ipsis dardanariis sese defendentibus. REISK.

Πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν λαμβάνειν] Αἰτίαν, φράσιν, vel λόγους, vel ἀπολογίας, καὶ μάρτυρας. CONT. Miror, quid velit vox ultima: et suspicor incuriam Scribæ repetisse eam ex sententia proxime sequenti, δίκην λαμβάνειν. Novi, quid sit ἔχειν αἰτίαν, *culpæ obnoxium esse, reum esse*: quod sæpe admodum occurrit. λαμβάνειν quoque αἰτίαν, licet rarius sit, probum est: ut Orat. XII. οὐ γὰρ δὴ ἐτέρων ἔργων αἰτίαν λαζόντες (τοι) ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. Pollux VIII. 10. segm. 120. εἰ τις τῶν φευγόντων ἐπ' ἀκουσίῳ φόνῳ αἰτίαν, δευτέραν αἰτίαν ἑκουσίου προσλάβοι. Thucydides lib. II. segm. 18. αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἐπ' αὐτῷ. et ita Idem VI. 60. Sed ἔχειν λαμβάνειν αἰτίαν mihi tautologiæ et Glossematis suspectum est. Si defendi possit, ita intelligo: *multos, in quos hæc eadem accusatio* (seu *crimen*) *cadere potuit, morte mulctavistis.* MARKLAND. Aut delendum est, ut volt Markland, λαμβάνειν, quod facile potuit e proximo versu 5. p. 529. quocunque errore huc irrepisse, aut si quid ejus tamen verum est, affirmem ita leg. esse locum: πολλῶν ἤδη, ἐχόντων ταύτην τὴν αἰτίαν, ἀπραμένων λανθάνειν, καὶ μάρτυρας π. *multos, qui, cum ejusdem criminis essent insimulati, conarentur infitiando subterfugere, testesque adeo suæ innocentiæ præstarent.* REISK.

166. 1 καὶ μάρτυρας παρεχομένων θάνατον κατέγνωτε, πιστοτέ- 724
ρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. καίτοι πῶς ἂν
οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες, μᾶλλον [1] ἐπεθυμεῖτε παρὰ τῶν ἀφουμένων δίκην
λαμβάνειν;

ἡ. Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, πᾶσιν ἡγοῦμαι φανερὸν εἶναι, ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι
τυγχάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται ἥντινα γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἂν μὲν θάνατον αὐτῶν 725
καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιποὺς, ἂν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε
ποιεῖν ὅ τι ἂν βούλωνται. χρὴ δὲ, ὦ ἄνδρες δικασταὶ, μὴ μόνον τῶν παρελημλυθότων [2] ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ
καὶ παραδείγματος [2] ἕνεκα τῶν μελλόντων ἔσεσθαι· οὕτω
γὰρ ἔσονται μόγις ἀνεκτοί. ἐνθυμεῖσθε δ' ὅτι ἐκ ταύτης
τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματος εἰσὶν ἠγωνισμένοι·
καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον
[3] αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν
ἢ παύσασθαι παρ' ὑμῶν ἀδίκως κερδαίνοντες. καὶ μὲν
δὴ οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν
αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν
οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον, καὶ τοὺς ἐμπό- 726
ρους ἐφ' [4] οἷς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε καὶ

[1] ἐπιθυμεῖτε T. A. [2] οὕνεκα T. R. A. [3] αἱτοῦνται T. [4] οὓς T.

Λόγους] Subaudi ἢ τοὺς τῶν πεισομένων λαυδάνειν. IDEM.

Λαμβάνειν] Add. ἢ παρὰ τῶν ὁμολογούντων. CONT. Subaudi ἢ τῶν ὁμολογούντων. REISK.

Οὕνεκα — οὕνεκα] Ἕνεκα — ἕνεκα. SCALIG.

Οὕτω] Fort. οὕτοι. TAYLOR.

Μόγις] Cohæret, non cum ἀνεκτοὶ, sed cum ἔσονται. *vix enim erunt vel hoc pacto tolerabiles*, h. e. vix hoc modo poterit hoc obtineri, ut se gerant tolerabiliter; si nempe pœnarum severitatem exerceatis; nedum ut tolerabiles sint futuri, si vos ad puniendum torpeatis. οὕτω bene habet. REISK.

Αἱτοῦνται] F. αἱροῦνται. TAYLOR. Lege: μᾶλλον αἱροῦνται. *malunt*. Demosth. Philipp. III. τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ περιλέγοντα βιάζεσθαι. et ita passim. MARKLAND.

Τῶν τε πολιτῶν] Subaudi τούτους. illos vestrorum civium (sitophylacas designat, de quibus jam paulo ante mentionem fecerat), qui cum horum frumentariorum fraudes compescere satis non potuissent, ideo capite suo luerunt. REISK. Explicat Contius: ἐκ τῶν πολιτῶν ἐκείνους οἳ —. AUGER.

Καὶ τοὺς ἐμπόρους] Καὶ τοῖς ἐμπόροις. SCAL. Inscite. TAYLOR.

Ἐφ' οἷς] Possit defendi. Nam ἐπί τινι perinde est, in fraudem et noxam alicujus; atque ἐπί τινα. malim tamen in accusat. ἐφ' οἷς, ut usitatius. REISK.

Οἷς ὑμεῖς κ. τ. λ.] Hæc non recte parenthesi includuntur. Lege: συνίστησαν· οἷς ὑμεῖς χαριεῖσθε, καὶ προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες. Ni potius fuisset, παρὰ τούτων. TAYLOR. Dele Parenthesin, et distingue: συνίστησαν οἷς ὑμεῖς — ποιήσετε, δίκην παρ' αὐτῶν

προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες.
727 εἰ δὲ μή, [1]τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται ὅτι τῶν καπήλων, οἳ τοῖς ἐκπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε;

Θ'. Οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν· περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων, ὅτε δικάζονται, δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι, τὴν δὲ τούτων πονηρίαν ἅπαντες ἐπί- 20
στασθε. ἂν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε, εἰ δὲ μή, τιμιώτερον.

[1] τὴν αὐτὴν T. R.

(vel παρὰ τούτων), λαζόντες. Paulo ante: τῶν τι πολιτῶν, οἳ διὰ etc. Tolle distinctionem, et subintellige τούτους, vel ἐκείνους τῶν πολιτῶν οἳ etc. ut τοὺς ἐμπόρους paulo post. MARKLAND. Subauditur a communi ἐλήσαιτε. REISK.

Προθυμοτέρους ποιήσετε] Scil. αὐτοὺς, *eos*, mercatores puta, vel negotiatores. verum reticuit hic loci hoc vocabulum, tametsi necessarium, quia statim sequitur αὐτῶν, quod ad dardanarios redit; ne idem pronomen eodem spiritu de diversissimis usurpatum lectores perturbaret. IDEM.

Τὴν αὐτὴν οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται, ὅτι τῶν καπήλων — ἀπεψηφίσασθε] Facilis hujus loci restitutio. Lege: ἐπειδὰν πύθωνται, ἤτοι ὅτι τῶν καπήλων — ἀπεψηφίσασθε. Vanderheidius vertit: *alioqui, eodem ipsos animo fore existimate, quo erant, cum intelligerent, caupones vos absolvisse.* Recte supplet: sed pro πύθωνται videtur legisse ἐπύθοντο, sine causa. Ἤτοι ὅτε, quod interdum εἶχον ὅτε. ut Orat. XV. ad fin. τὴν αὐτὴν γνώμην ἔχοντας — ἤτοι ὅτε οἴεσθε πρὸς τοὺς πολεμίους διακινδυνεύειν. MARKLAND. Mihi videtur leg. esse: τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν. *quem ipsis animum existimatis fore, cum audierint* —. Vulgatam si servabimus, erit ad τὴν αὐτὴν subaudiendum τοῖς ἐπιβουλεύουσιν ὑμῖν. *communem causam facturos cum dardanariis, a quibus insidiæ vobis struuntur, existimate.* [αὐτοὺς si optabimus, redibit ad negotiatores frumentum e Ponto Athenas subvehentes. τὴν αὐτὴν si servabimus, subaudiendum erit: οἵαν τίνες ἴσχον. *atque adhuc habuerunt.* aut ἤ οἵας ἐστὶν αὐτοὺς ἐν τῇς τούτων ἀποψηφίσεως ἔχειν. *In Var. Lect.*] REISK.

Ἐκπλέουσιν] Malim εἰσπλέουσιν. in Pirœeum puta, ut antea. IDEM.

Ἂν οὖν τούτων κ. τ. λ.] Hunc locum laudat Suidas in v. Ἄξιον, οἱ ῥήτορες, minima fere cum differentia. TAYLOR.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΠΑΓΚΛΕΩΝΟΣ

ΟΤΙ ΟΥΚ ΗΝ ΠΛΑΤΑΙΕΥΣ.

ΥΠΟΘΕΣΙΣ.

Δίκη ξενίας. Vid. Harpocr. in Μαντοδίκαι, et Poll. VIII. 10. Pancleo servus fugitivus in jus vocatus est ad Polemarchum propter quasdam contumelias ab Oratore, arbitrato eum fuisse μέτοικον. At cum ille exceptione fori usus Platæensem se esse dixit, ideoque, civem Atticum, deprehenditur post accuratissimam investigationem habitam, ut Auctoris verbis utar, μὴ ὅτι Πλαταιεὺς εἶναι, ἀλλ' οὐδὲ ἐλεύθερος. Pag. ed. H. Steph. 166. 27 Pag. ed. Reisk.

α'. ΠΟΛΛΑ μὲν λέγειν, ὦ ἄνδρες δικασταὶ, περὶ τουτουὶ τοῦ πράγματος οὔτ' ἂν δυναίμην οὔτε μοι δοκεῖ δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τούτῳ Παγκλέωνι οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδείξαι. 728 729

β'. Ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν ἐπὶ τὸ γναφεῖον ἐν ᾧ εἰργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου ὅτι Πλαταιεὺς εἴη, ἠρόμην [1] ὁπόθεν δημοτεύ-

[1] ὁπότε T. R. A.

ΠΛΑΤΑΙΕΥΣ] Legendum contendit doctissimus Meurs. ὅτι οὐκ ἦν Πλαθαιεὺς (nam inter Atticos populos erat Πλαθαιὰ, ut ostenderunt ipse Meursius aliique), "et per totam deinceps orationem," hominis ipsius verbis utor, "ubicunque editur Πλαταιεὺς, Πλαταιεῖ, Πλαταιᾶ, Πλαταιέων, Πλαταιάς, rescribendum sine dubio Πλαθαιεὺς, Πλαθαιεῖ, Πλαθαιᾶ, Πλαθαιέων, Πλαθαιάς." Vid. Attic. Leg. III. 29. Cui nolim aliquid gravius dici, cum, nisi me mea memoria fallat, errorem suum alibi revocet. Platæenses erant civitate donati, uti liquet ex decreto, quod exstat apud Demosth. c. Neær. p. 1380. pen. ed. Reisk. ex Aristoph. in Ranis, et Pausan. Attic. c. 29. aliisque. Vid. Petit. de LL. Attic. p. 133. et Miscell. II. 9. I. 14., Meurs. ipsum de fortuna Athenarum cap. 5. Eodem itaque jure cum Platæensi agendum erat, atque Athoniensi. Præterea locus egregius exstat in fine orationis, qui ad Platæensem solummodo spectare potest: Περὶ τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει. Καίτοι εἶμαι εἰδέναι ὑμᾶς, ὅτι, εἴπερ ἦν Πλαταιὺς, πανταχοῦ μᾶλλον, ἢ Θήβησιν, ἦν οἰκὸς αὐτὸν μετοικῆσαι. Norunt omnes simultates olim intercessisse inter Thebanos et Platæenses: Inter Thebanos et Plothæenses Meursius, credo, solus. TAYLOR. Confer. Observat. Miscell. Amstelodam. T. VII. p. 317. sqq., et Corsini Fast. Attic. T. I. p. 16. sqq. REISK.

Ὁπόθ' δημοτεύοιτο] *in quem populum accenseretur.* TAYLOR. Lege: ὁπόθι. *ex quo pago esset.* Insuitata vero scævitas in hac Oratione. MARKLAND. ὁπότε (per τ) est in libris, non per θ, ut Markland, nescio qui aut unde, recitavit. Arbitror tamen veram lectionem ab eo esse demonstratam. id quod patet e responsione

οιτο, παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι
730 [1] καὶ πρὸς τὴν φυλὴν ἥστινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ
731 ἀπεκρίνατο ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν [1] καὶ 35
Οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται] Quod huic loco deesse apparet, id diversa ratione Marklandus et Reiskius supplere conati sunt. Ego vero pene confirmare ausim Lysiam ita scripsisse: οὐχ ὅπως τιμωρηθήσεται, ἀλλὰ καὶ βουλεύειν παρασκευάζεται. Sequitur enim: καίτοι δικαίως γ' ἂν — οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν καὶ τῆς μεγίστης ἀπορίας ἐκκλησιάζεται (f. l. ἐκκλησιάσαιτο). Haec pulcherrime superioribus respondent, et hinc intelligitur βουλεύειν debuisse praecedere. Elegans hic est usus formulae οὐχ ὅπως, sequente ἀλλὰ καὶ vel ἀλλ' οὐδέ: non solum non — sed etiam. Lysias, p. 154. v. 36. ed. Steph. οὐχ ὅπως σιγὴν ἀνήδυτε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀπεσπάσθησαν. p. 185. v. 41. ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὐτοῦ τι ἐκέδωκεν, ἀλλὰ καὶ τῶν ὑμετέρων πολλὰ ὑφήρηται. Xenophon Hellen. l. V. c. 4. §. 34. ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσειεν τὸν Σφοδρίαν. l. VI. c. 4. §. 3. οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδὲ τὸ στράτευμα διαλύοντας. Cyropaed. l. I. c. 3. §. 10. μὴ ὅπως ἐγχεῖσθαι ἐν μυδμῷ ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Isocrates de Pace p. 168. c. οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν. Busiridis Laud. p. 232. B. οὐχ ὅπως τῆς ὑπαρχούσης αὐτῶν (leg. αὐτὸν) διαβολῆς ἀφήλλαξας, ἀλλὰ καὶ τελευτῶν αὐτῷ τὸ μίγιστος παραπολὺ ἐφεσῦφας. Conf. p. 229. B. p. Plataic. p. 297. D. Eadem ratione dicitur οὐχ ὅτι, vel μὰ ὅτι. Lysias, p. 167. v. 31. νομίζει ἑαυτὸν μὰ δυὶ Πλαταιᾶς εἶναι, ἀλλ' οὐδ' Ἰκαδέων. Xenophon Hellen. l. II. c. 3. §. 18. ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὰ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν. Isocrates Excepit. adv. Callim. p. 374. D. οὐ γὰρ ὅτι τοὺς ἀδικοῦντας ἐκόλαζον, ἀλλ' ἵνα καὶ προσέτι τῶν ἐξαμαρτάνων. Demosthenes in Timocrat. §. γ'. οὐχ ὅτι τὸν ὄντων ἀναστατῶν ἂν, ἀλλ' οὐδ' ἂν ἴζω. Est haec formula ellipticae; neque tamen, quod nonnulli volunt, pro οὐχ ὅπως οὐ, vel μὰ ὅτι οὐ, dici putem, sed potius mansisse e pleniori formula οὐκ ἔστιν, vel οὐ λέξω, ὅπως, ὅτι. De hac formula similibusque cf. Budaeus Comment L. Gr. p. m. 777., Vigerus de Idiotismis L. Gr. p. 403., Hoogeveenius ad Viger. p. 428. et de Doctr. Partic. p. 741. sqq. 962. sqq., L. Bos. Ellips. Gr. p. 486. Hanc loquendi morem ad Latinos quoque transisse, neque *non modo* et *non solum* dici pro *non solum non* docet A. Muretus Var. Lect. l. x. c. 7. Sluiter.

Ἐκκλησιάζεται] P. ἐκκλησιάζετο. Taylor. Alios ἐκκλησιάζειν dare testatus Taylor, omisit auctores nominare. Sententia postulat ἂν ἀγοίατο. Reisk.

παραγενέσθαι ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος ἦν ἔκειτο περὶ αὐτοῦ διαρρήδην, ὥσπερ καὶ περὶ τῶν ἄλλων ἀδικημάτων. οὐ γὰρ οἴεται ὑμᾶς γνώσεσθαι ὅτι διὰ τὸ μέγεθος τοῦ ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ ἐγράφη νόμος. τίς γὰρ ἂν ποτε 887
ῥᾴτωρ ἐνεθυμήθη ἢ νομοθέτης ἤλπισεν ἁμαρτήσεσθαί τινα τῶν πολιτῶν τοσαύτην ἁμαρτίαν; οὐ γὰρ ἂν δή που, εἰ μέν τις λίποι τὴν τάξιν μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης, ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος· εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης λίποι τὴν πόλιν αὐτὴν, οὐκ ἂν ἄρα ἐτέθη. σφόδρα γ' ἂν, εἴ τις φήθη τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι τοιοῦτόν ποτε. τίς δ' οὐκ ἂν εἰκότως ἐπετιμήσειεν ὑμῖν, εἰ τοὺς μετοίκους μὲν, ὅτι οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς ἐβοήθησαν τῷ δήμῳ, ἐτιμήσατε ἀξίως τῆς πόλεως· τοῦτον δὲ ὅτι παρὰ 888
τὸ προσῆκον ἑαυτῷ προὔδωκε τὴν πόλιν, μὴ κολάζοιτε, εἰ μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ;

θ'. Ἀναμνήσθητε δὲ διότι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας [1]γενομένους περὶ τὴν πόλιν τιμᾶτε καὶ τοὺς κακοὺς ἀτιμάζετε. ἀδείχθη γὰρ ἀμφότερα ταῦτα οὐ τῶν γεγενημένων μᾶλλόν τι ἕνεκα ἢ τῶν γενησομένων, ἵν' ἀγαθοὶ προθυμῶνται γίνεσθαι ἐκ παρασκευῆς, κακοὶ δὲ μηδ' ἐξ ἑνὸς τρόπου ἐπιχειρῶσιν. ἔτι δὲ ἐνθυμήθητε ποίων ἂν ὑμῖν δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς πατρῴους θεοὺς προὔδωκεν· ἢ πῶς ἂν χρηστόν τι βουλεῦσαι περὶ τῆς πολιτείας, ὃς οὐδὲ

[1] γενομένους R. A.

Μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης] Id est, non bello Defensivo, sed Offensivo, secundum vulgarem loquendi formam. Deinde distingue: σφόδρα γ' ἄν, εἴ τις φήθη etc. certe quidem late fuisset (ἐτέθη ἄν), si quis suspicatus fuisset etc. MARKLAND.

Εἰς αὐτοὺς] Scil. τὸ ἐν κινδύνῳ εἶναι. REISK.

Ἀδικοῦντος] Sub. αὐτοῦ. AUGER.

Οὐ γὰρ δὴ τὰ προσῆκον ἐποιοῦν] Idem est, ac si dixisset: πάντα οἱ προσῆκον αὐτοῖς, tametsi haec partes eorum haud essent, neque jure ullo tenerentur id facere. Est quidem ea dictio paulo insolentior, et peccant illa duo vocabula κατὰ τὸ προσῆκον abeunte, sine damno sententiae, et cum elegantia adeo, verumtamen dixit Lysias ea ponendo, ob immutatam σοχὰ τὸ προσῆκον. REISK.

Ἐτιμήσατε] Ἐτιμήσατε, Vir doctissimus. TAYLOR. Quisque illa fuit vir doctissimus, et a sententia aberravit, et Graece parum se callere prodidit. Nam ἀτιμεῖν non usurpatur, sed ἀτιμάζειν. unde non ἐτιμήσατε, sed ἠτιμάσατε. deinde ἀτιμάζειν non idem est atque ἀτιμοῦν. Neque dedecorare, infamare, hic voluit Lysias, sed τιμᾶν, honorare. Vulgata h. l. optime habet. Sententia est: inquilinos qui reipublicae succurrerunt, quamquam obligati ad id faciendum nullo pacto essent, honorastis. REISK.

Καλάζοντε] Bene habet post ἐτιμήσατε. Similis huic constructio, ubi post aoristum optativus tempus praesens aut futurum indicans sequitur, paulo post habemus in illis: περὶ οὐδενὸς ἡγήσατο, ἐμοῦ δὲ — ἀποθανουμένου. IDEM.

ἐλευθερῶσαι τὴν πατρίδα ἐβουλήθη· ἢ ποῖα ἂν ἀπόῤῥητα
889 τηρῆσαι, ὃς οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε; πῶς δ'
εἰκός ἐστι τοῦτον, ὃς οὐδὲ τελευταῖος ἐπὶ τοὺς κινδύνους ἦλθε,
πρότερον [1]τῶν κατεργασαμένων καὶ οὕτω συντιμηθῆναι; 40
σχέτλιον δ' ἂν εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς πολίτας
περὶ οὐδενὸς ἡγήσατο, ὑμεῖς δὲ τοῦτον ἕνα ὄντα μὴ ἀπο-
δοκιμάσαιτε.

ι'. Ὁρῶ δέ τινας οἳ νῦν μὲν τούτῳ παρασκευάζονται βοη-
θεῖν καὶ δεῖσθαι ὑμῶν, ἐπειδὴ ἐμὲ οὐκ ἠδύναντο πεῖσαι·
τότε δέ, ὅτε οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶνες
ἦσαν, τὰ δὲ ἆθλα αὐτὴ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει οὐ μόνον
περὶ τοῦ βουλεύειν ἀλλὰ καὶ περὶ τῆς ἐλευθερίας βουλεύε- 190. 1
σθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι καὶ ὑμῖν καὶ κοινῇ
τῇ πόλει, καὶ μὴ προδοῦναι μήτε τὴν πατρίδα μήτε τὴν
βουλήν, ἧς νῦν ἀξιοῖ τυχεῖν οὐ μετὸν αὐτῷ, ἄλλων γε κατ-
εργασαμένων. μόνος δή, ὦ βουλή, δικαίως οὐδ' ἂν ἀγανα-
890 κτοίη μὴ τυχών· οὐ γὰρ ὑμεῖς νῦν αὐτὸν ἀτιμάζετε, ἀλλ'
αὐτὸς αὑτὸν τότε ἀπεστέρησεν, ὅτε οὐκ ἠξίωσεν, [2]ὥςπερ 5
νῦν προθύμως κληρωσόμενος ἦλθε, καὶ τότε διαμαχόμενος
περὶ αὐτῆς καταστῆναι μεθ' ὑμῶν.

[1] τῶν πρότερον A.

[2] ὅσπερ R.

Οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε] Τὰ προειρημένα hic opponi debent τοῖς ἀπορρήτοις, secretis Senatus consiliis. Clariorem oppositionem putarem, si scripsisset Noster τὰ διειρημένα, res palam et distincte explicitas: nempe, Legum jussa, quæ omnibus patent, et ab omnibus intelliguntur. Sæpe utitur hac voce Philo Judæus. διαῤῥήδην εἰρῆται Lysias Orat. I. eodem fere sensu. Nihil tamen muto. Paulo post: τὰ δὲ ἆθλα αὐτὴ ἡ πολιτεία ἔκειτο. præmium vero ipsa in medio jacebat respublica. Ita Noster Orat. I. Xenophon Cyrop. II. 17. 19. VII. 8. Lycurgus p. 154. Demosthenes Philipp. I. Quod notasse vix operæ pretium fuisset, nisi Vanderheidius infeliciter vertisset: cum præmia ab ipsa republica proponerentur. MARKLAND. Bene habet τὰ προειρημένα, imperata in antecessum, antequam tempus ratum veniat, quo mandata aut interdicta expediat exercerі seu caveri. magistratus edicens imposterum observanda dicitur προειπεῖν. REISK.

Πρότερον τῶν] Legi transponendo τῶν πρότερον, et sic totum hunc locum interpretor: Quomodo hunc qui — honorari etiam sic (i. e. senatoris gradu decorari, qui gradus erat unius duntaxat anni et omnibus patebat) una cum iis qui prius rem peregerunt, np. civitatem et senatum servarunt. AUGER.

Καὶ οὕτω συντιμηθῆναι; σχέτλιον δ' ἂν εἴη] Videtur sic leg. καὶ οὕτωσί γε τιμηθῆναι; σχέτλιόν γ' ἂν εἴη. REISK.

Ὥσπερ] Sic dedi de meo, pro vulgari ὅσπερ. Idem est, ac si dixisset: οὐκ ἠξίωσεν ὑπὲρ ταύτης καταστῆναι διαμαχόμενος, ὑπὲρ ἧς νῦν προθύμως ἦλθε κληρωσόμενος. IDEM.

Κληρωσόμενος ἦλθε] venit sorte accepturus, scil. dignitatem senatoriam. AUGER.

Διαμαχόμενος περὶ αὐτῆς καταστῆναι μεθ' ὑμῶν] Lege: διαμαχούμενος. ut κληρωσόμενος paulo ante. et pro καταστῆναι forte leg. καταταχθῆναι. MARKLAND. et in edit. min. TAYLOR.

Καταστῆναι] Si ἐν τάξει subauditur, stare in acie, tum bene habebit διαμαχόμενος dimicans in presenti. Sin autem ad καταστῆναι subauditur εἰς τάξιν atque significat in aciem descendere, tum utique præferendum fuerit Marklandi διαμαχούμενος dimicaturus. REISK.

ια'. Ἱκανά [1] μοι νομίζω εἰρῆσθαι, καίτοι πολλά γε παραλιπών· ἀλλὰ πιστεύω ὑμᾶς καὶ ἄνευ τούτων [2] αὐτοὺς τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. οὐ γὰρ ἄλλοις τισὶν 891
ὑμᾶς δεῖ περὶ τῶν ἀξίων ὄντων βουλεύειν τεκμηρίοις χρῆσθαι
ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ τὴν πόλιν ἐδοκιμάσθητε. ἔστι [3] γὰρ τὰ τούτου ἐπιτηδεύματα [4] κοινὰ παραδείγματα καὶ πάσης δημοκρατίας ἀλλότρια.

[1] μὲν T. R. A. [2] αὐτῶν T. [3] γὰρ αὐτοῦ τὰ T. R. A. [4] καινὰ A.

Ἱκανὰ μὲν] Malim ἱκανά μοι. IDEM.

Καὶ ἄνευ τούτων αὐτῶν τὰ συμφέροντα etc.] Emphatica vox αὐτῶν minime necessaria videtur. Puto: ἀλλὰ πιστεύω ὑμᾶς, καὶ ἄνευ τούτων, ἀφ' ἑαυτῶν τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. Ἀφ' ἑαυτῶν, vel αὐτῶν. *per vos ipsos*, vel potius, *exemplo sumpto a vobis ipsis*: propter Rationem, quæ sequitur. Sic apud Lucam XII. 57. τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; id est, *cur vero non, exemplum petentes ab eo, quod ordinarie inter vos ipsos fit, quod justum est judicatis?* et ita 2 Cor. X. 7. τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ. *a seipso*, seipsum in exemplum adhibens: prout ex sequentibus patet. Si apud Lysiam malis ἐφ' ἑαυτῶν, vide Perizonium ad Ælian. V. H. I. 34. et Demosthenem contra Olympiodor. ἴδιος τὸν ἄνθρωπον καὶ ἐβασάνισεν αὐτὸς ἐφ' ἑαυτοῦ. *ipse per se*, sua auctoritate. quod tamen Ioannes dicit ἀφ' ἑαυτοῦ. XVI. 13. οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ. et XIV. 10. τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Ita distinguendum. Ὁ δὲ πατὴρ, scil. λαλεῖ αὐτά. de Doctrina et de Miraculis distincte loquitur; quod et alibi passim facit. *ille facit opera quoque*. In Vulgatis hæc confunduntur reclamante sensu et recta ratione. MARKLAND. Mutavi αὐτῶν, cum αὐτοὺς arbitratu meo. *ultro, sponte vestra*. REISK.

Κοινὰ] Ni ita interpreteris: *exempla quæ ad omnes spectant, ad publicum*. ut ἀγῶνες κοινότατα, Noster c. Dardanar. Legendum omnino καινὰ, ut monuit vir summus. TAYLOR. Aut cum Tayloro leg. erit καινὰ *nova*, aut mecum ἄκοινα *parum civilia*, quibus uti publice neque licet, neque expedit. REISK.

Πάσης δημοκρατίας ἀλλότρια] Nisi fallor, magis ad rem præsentem foret δεσποτείας, quam δημοκρατίας. Mores ejus tales sunt, tam aperti et bene noti, ut in scrutinium et *examen* admitti nec debeant, nec necesse habeant. MARKLAND.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου κατοικιζόντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μᾶλλον ἐσπουδακὼς εἰς τὴν Ἀσίαν ἢ τὴν Γλαυκίαν ἄρχοντος, ἔχων γήμας παῖδα Διόδωρον ἐκ θυγατρός, κατελιπὼν αὐτοῦ ἐπίτροπον, τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παίδων Διῖόν τε καὶ πάππον ἀπὸ μητέρος. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχίμους ἀνεδήσατο, Διογείτων δὲ, πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδώσας, αὐτὸς ἔτι παρὼν κατηγορεῖται πρὸς ἐνίους τῶν μειρακίων δεομαστθῆναι παῖδας ἐπιτρόπους. λέγω δὲ κατ' αὐτοῦ τὸν λόγον τοῦτον τῆς ἐκείνου μὲν θυγατρὸς τῶν δὲ μειρακίων ἀδελφῆς ὄντος.

Dionys. Halic. in Lysia.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Διόδοτος Διογείτονα τὸν ἀδελφὸν θυγατέρα γήμας καὶ σχὼν ἐξ αὐτῆς παῖδας, ἐξίων ἐπὶ πλείονι ἐν τοῖς Πελοποννησιακοῖς ἐπίτροπον καταλιμπάνει τῶν παίδων τὸν ἀδελφὸν, καὶ μαχόμενος ἐν Ἐφέσῳ τελευτᾷ τὸν βίον. Ἀθηναῖόν δέ τις, γήμας τὴν Διοδότου μὲν θυγατέρα Διογείτονος δὲ θυγατριδῆν, ἐγράψατο Διογείτονα παίδων ἐπιτροπῆς τῶν παίδων, ᾧ Λυσίας γέγραφε τὸν κατὰ Διογείτονος λόγον.

Pag. ed. Reisk.

Scholiast. Hermogenis, p. 411.

Pag. ed. H. Steph.

892 Α'. ΕΙ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ ἄνδρες δικασταὶ, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων 208
893 αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς [1] τε ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται· ἐπειδὴ μέντοι, ὦ ἄνδρες δικασταὶ, πολλῶν χρημάτων ἀπεστέρηνται, καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν ἐπ' ἐμὲ κηδεστὴν ὄντα

[1] τε om. T.

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ] Hanc longe venustissimam et optimam (si Photio fides) orationum Lysiæ conservarunt ii, quorum opera usi sumus in argumento adornando. Quorum hic tamen pro more potiora nonnulla solummodo prælibavit. Memorat etiam idem alibi, sc. p. 381. Πρὸς Διογείτονα περὶ ἐπιτροπῆς, Photius, quo pacto fere Dionys. Halic. ἔστι δὲ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγεγραμμένος κατὰ Διογείτονος, ὑπόθεσιν δὲ ἔχων τοιάνδε Διόδοτος εἰς κ. τ. λ. Vid. Victor. Var. Lect. XXIV. 5. TAYLOR.

Εἰδὼς ὅτι οὐ] Melius σχ. Hermog. εἰδός τε ὅτι. TAYLOR. Ferri potest. Melius tamen putarem εἰδός τι ὅτι etc. ut consecutatur cum νομίζων, quod præcessit. MARKLAND.

Ἀντιστάρηνται] Malim ἀντιστερημένα. REISK.

Ἐφ' ἐμὲ] Ἐπ' ἐμοὶ δὲ, Hermog. schol. F. ἐπ' ἐμοὶ δή. TAYLOR.

κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν ἀδελφήν, Διογείτονος δὲ [1]θυγατριδῆν, καὶ πολλὰ ἀμφοτέρων δεηθεὶς, τὸ μὲν πρῶτον ἔπεισα [2]αὐτοὺς [3]τοῖς φίλοις ἐπιτρέψαι [4]δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι· ἐπεὶ δὲ [5]ὁ Διογείτων ἃ φανερῶς ἔχων [6]ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὐτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἐβουλήθη καὶ φεύγειν δίκας καὶ μὴ οὔσας διώκειν καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἁπλ- 894
λάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια· εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.

209 Β. Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταὶ, Διόδοτος καὶ Διογείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη. καὶ γίνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ. χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου τοῦ ἐπὶ τῶν ἀπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα ἀδελφιδῆν οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὐτοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας τὰς [7]ἀναγκαίας οὐδενὶ μᾶλλον προσήκειν ἑτέρῳ εἰς τοὺς παῖδας [8]αὐτοῦ ἐπιτρόπῳ γενέσθαι, διαθήκην αὐτῷ

[1] ἀδελφιδῆν T. R. A. [2] αὐτοὺς om. T. R. A. [3] τοὺς φίλους T. [4] διαιτῶν T. R. A. [5] ὁ om. T. R. A. [6] ἐξήλεγκτο T. R. A. [7] ἀναγκαιότητας T. R. A. [8] αὐτοῦ om. T. R. A.

Ἀδελφιδῆν] Uxor actoris erat filia Diodoti, qui erat frater Diogitonis, susceptæ e filia Diogitonis, neptis itaque ejusdem Diogitonis, et e filia, et e fratre. Potest ergo et hæc lectio probari, et altera, quæ aliis in libris est, θυγατριδῆν. Reisk.

Τοὺς φίλους] Ita editi, sed et legi posse τοῖς φίλοις monuit Sylburgius. Ego autem *oportere*. Atque ita legunt Dionysii Codd. Regii Parisienses, et Hermogenis σχοτιν Græcus, qui etiam habet ἐπιτρέψαι τὴν δίαιταν. Taylor.

Μὴ οὔσας διώκειν] Vid. Ulpian. ad Demosth. contra Midiam, §. κε'. *denuo lege experiri*. Taylor. Intelligo, exceptione pugnare. Auger.

Ἀδελφοὶ ἦσαν κ. τ. λ.] Vid. Enarrat. Hermog. ad l. 1. de Ideis p. 381., Victor. Var. Lect. XXIV. 5. Taylor.

895 δίδωσι καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην· [1]ναυτικὰ δὲ ἐπέδειξεν ἐκδεδομένα ἑπτὰ τάλαντα καὶ τετταρά-
896 κοντα μνᾶς, [2]δισχιλίας δὲ ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκηψε δὲ, ἐάν τι πάθῃ, τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι, τάλαντον δὲ τῇ θυγατρί. κατέλιπε [3][δὲ] καὶ εἴκοσι μνᾶς [4]τῇ γυναικὶ καὶ τριάκοντα στατῆρας Κυζικηνούς. ταῦτα δὲ πράξας καὶ οἴκοι ἀντίγραφα καταλιπὼν, ᾤχετο στρατευσόμενος μετὰ Θρασύλλου.

897 γ'. Ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ, Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς, καὶ τὰ γράμ-

[1] αὐτίκα T. [2] χιλίας T. R. A. [3] [δὲ] om. T. R. A. [4] τῇ γυναικὶ om. A.

Αὐτίκα δὲ ἐπίδειξεν etc.] Lege: ναυτικὰ δὲ ἐπίδειξεν etc. sic infra: φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμμάτων ἀπομείρασθαι. et paulo post: ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἐκτὰ τάλαντα πεπομισμένον ναυτικὰ, καὶ τετρακισχιλίας δραχμάς (sic et ibi legendum rursus, pro αὐτίκα). Ναυτικὰ τάλαντα et χρήματα ναυτικὰ sunt, quæ ἐπὶ τόκῳ ναυτικῷ ἐκδίδονται. Diog. Laertius init. Menippi: καὶ γὰρ ναυτικῷ τόκῳ δανείζειν καὶ ἐξενεχυριάζειν. quod δανείζειν ναυτικῶς vocat Idem in Zenone. Demosthenes Orat. I. contra Aphobum, ubi recenset opes a patre suo sibi reljotas, inter cætera refert: ναυτικὰ δὲ ἑβδομήκοντα μνᾶς ἐκδοσιν παρὰ Ποσίδ. Idem in Orat. adv. Lacriti paragraph. δανείζεσθαι ἐν τῇ ἐμπορίᾳ ναυτικὰ χρήματα. Proprie vero ἐκδεδομένα de pecunia in *Fenore nautico* posita. vide Harpocration. V. "Εκδοσις, et Salmasium de Modo Usurar. p. 192. MARKLAND.

Χιλίας] Quid? Anne μνᾶς, quod proxime præcedit? Cave credas. Maxime si cum Cant. διοχιλίας restituendum est. Rarissime, credo, cum XVI. vel etiam XXXIII. talenta dinumeranda veniunt (tot enim vel χίλιαι vel δισχίλιαι minæ conficiunt); per minas numerant. Tum autem præterea hujusmodi census ultra privati hominis, Diogitonis sc. fortunas excresceret: neque porro credibile est hominem frugi et mercatura exercitatissimum domi solummodo habere ad XII. talenta: foris mutuo data ad XXXIII. Non ausim pronunciare hic subesse δραχμάς. Sed subesse solet, et numeralia ita soluta et nude posita sæpissime pro drachmis intelliguntur. Ita Midias injuriam, quam Demostheni intulerat, MMM. drachmis redemit. Vide tamen, quo pacto eam rem retulere Βιόγραφοι. Ἐπίδοσις τοῖς ἐπὶ τῷ αὐτοῦ διοικήσει· αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἂν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι ψυχείαν, ἐλπίζοντες καὶ δυναμένου περιγενέσθαι, Plutarch. Μειδίαν δὲ τὸν Ἀναγυράσιον κλέψαντα αὐτὸν ἐν τῷ Διονύσου χορηγοῦντα, εἰς ὑρίσιν καταστήσας λαβὼν τρισχιλίας ἀφῆκε τῆς δίκης, Auctor Vit. Rhet. apud eundem Plutarchum. TAYLOR.

Τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ, καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι] Vel alterum ex Infinitivis delendum, vel sedes eorum mutandas arbitror. ἐπιδοῦναι enim accessionem denotat, insuper dare; et ultimo loco poni debere videtur, quando δοῦναι in eadem sententia occurrit. Sequitur: τάλαντον δὲ τῇ θυγατρὶ κατίλιπε, καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ, etc. Duas ultimas voces cum Schotto omnino tollendas censeo. de Uxore enim jam ante absolverat, et ad Filiam transierat. eas videtur repetisse Librarius ex versu præcedenti. MARKLAND. τῇ γυναικὶ dele cum Schotto. TAYLOR. Sed cave ne faxis. Necessariæ sunt, omnique modo servandæ. Sed sic leg. et distinguendum est, ut distinxi: τῇ θυγατρὶ, *filiæ talentum in dotem constituit*. κατέλιπε δὲ καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ, sed et præter illud talentum, quod uxori in dotem constituit, si iterum nubere alicui vellet, eidem uxori suæ reliquit viginti minas — in usus vel sumptus quotidianos. REISK.

Διογείτων τὸν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς] *Diogiton quidem filiam de mariti morte celavit*. Hinc illustratur Matthæus XIII. 44. θησαυρῷ — ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε. *quem qui invenit homo, abscondit*, Vulgat. obscure. Vult Evangelista, *tacuit*, nihil dixit, πάντως ἔκρυψε

ματα λαμβάνει ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. ἐπεὶ δὲ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς καὶ ἐποίησαν τὰ νομιζόμενα, [1]τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διῃτῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια· ἐκείνων δὲ ὑπολιπόντων, τοὺς μὲν παῖδας εἰς ἄστυ ἀνεπέμπετο, τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν ἐπιδοὺς πεντακισχιλίας δραχμὰς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ [2]αὐτῆς ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων, ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου καὶ τριάκοντα στατῆρας. ἐγὼ οὖν πολλὰ τῶν ἐμαυτοῦ 898
δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν. καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερε· [3]νυνὶ δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι· σὺ οὖν, ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη πόθεν ἕξεις τὰ ἐπιτήδεια.

δ'. Ταῦτ' ἀκούσαντες ἐκπεπληγμένοι καὶ δακρύοντες ᾤχοντο πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην ἦκον πρὸς ἐμὲ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες καὶ παρακαλοῦντές με μὴ περιιδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρώων μηδ' εἰς πτωχείαν καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς [4]ἕνεκα καὶ σφῶν [5]αὐτῶν. πολλὰ ἂν εἴη λέγειν ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ. τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ τοὺς φίλους, εἰποῦσα ὅτι, εἰ καὶ πρότερον μὴ εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει τῶν συμφορῶν περὶ τῶν σφε-

[1] τὸ T. [2] αὐτῇ ἐπίδωκεν A. [3] νῦν T. R. A.
[4] οὕνεκα T. R. A. [5] αὐτῶν om. T.

τὸ σῖγμα, omnes celavit de re inventa: quemadmodum hoc loco Lysias. Xenophon Ἀνάβ. I. 9. 19. καὶ ἃ σίτεσιτο αὖ τις, ἔλεγεν Κῦρος ἐπέστην. et quæ quisque possideret, ea Cyrum haudquaquam celarent. MARKLAND.

Τετελευτήντων] Et ἐτελευτήντων retineri potest, et ἐτελευτήντων subatitui. SYLBURG. TAYLOR. Ego equidem ἐτελευτήντων malim. REISK. Malim cum viris doctioribus ἐτελευτήντων. AUGER.

Αὐτῆς] Αὐτῇ. SYLBURG. Ego malim αὐτῇ ἐπίδωκεν. Nam in ejusmodi re verbum proprium est ἐπιδιδόναι, non simplex διδόναι. REISK.

Αὐτῆς τὸν πατέρα] Scribe: αὐτῆς. suum patrem. MARKLAND. et in edit. min. TAYLOR.

Ἀναγκάσει] Si quis malit ἀναγκάζει, per me licet. SYLBURG. Malit Scalig.

τέρων κακῶν δηλῶσαι πάντα πρὸς [1]ἡμᾶς. ἐλθὼν δ' ἐγὼ ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυ-
899 γατέρα, λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους, ἠξίουν [2]δὲ τοῦτον εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγμάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε, τελευτῶν δὲ ὑπὸ τῶν φίλων ἠναγκάσθη.

ε'. Ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα ποτὲ ψυχὴν ἔχων ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆσθαι, ἀδελφὰς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ' ἐμὸς, θεῖος δὲ αὐτοῖς καὶ πάππος. καὶ εἰ μηδένα ἀν- 210
θρώπων ἠσχύνου, τοὺς θεοὺς ἐχρῆν σε φησὶ δεδιέναι· ὃς ἔλαβες μὲν, ὅτ' ἐκεῖνος [3]ἐξέπλει,
900 πέντε τάλαντα [4]παρ' αὐτοῦ, [5]παρακατεθήκην.
καὶ περὶ τούτων ἐγὼ θέλω τοὺς παῖδας παραστη-
901 σαμένη καὶ τούτους [6]καὶ τοὺς ὕστερον ἐμαυτῇ

[1] ὑμᾶς T. A. [2] δὲ καὶ τοῦτον A. [3] ἐξέπλει T. [4] παρ' αὐτοῦ om. R. A. [5] καταθήκην T. [6] καὶ τοὺς καὶ T.

TAYLOR. Ego aut ἀναγκάζω aut ἀναγκάσαι in optativo aor. 1. præferam. REISK.

Τοῦτον] Malim καὶ τοῦτον. IDEM.

Ἐξίλιστι] Potius Ἐξέπλει. TAYLOR. Lege literis transpositis, ἐξίκλει: quod supra dixit ἔχειτο στρατευόμενος. Dion. Halicarnasseus in Argumento Orationis: Διόδοτος, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ὑπὸ Γλαυκίππου ἄρχοντος, διαθήκας ἐποιήσατο. Patet quoque emendatio ex voce ἔλαβες. si enim scripsisset ἐξέλιπε, dixisse debuit εἶχες, non ἔλαβες. Talis literarum confusio corrupit, nisi fallor, locum Aeter. XVII. 14. Εἰδότες δὲ τὸν τὴν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ἐπὶ τὴν Θάλασσαν. Diu suspicatus faceram proprium nomen Urbis alicujus vel Regionis latere sub isto Θάλασσαν. non enim Lucas de Paulo solet tam vage et indeterminate scribere, ut ad *mare* eum mitti dicat sine mentione *cujusnam* maris, vel quid ibi *facturus*, et *quo* deinde profecturus. Si Lucas scripsisset: *dimiserunt Paulum, ut iret ad* MONTES, nonne aliquis quæreret, ad *quosnam* montes, et *quid* ibi *agere* destinasset? Pro Θάλασσαν igitur conjeceram Θεσσαλίαν: quam Conjecturam firmatam deprehendi a Beza vetustissimo Cod. Cantabrigiensi, cum. 15. οἱ δὲ καθιστῶντες τὸν Παῦλον ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν. deinde Codex iste addit: παρῆλθε δὲ τὴν Θεσσαλίαν διαλύσας εἰς αὐτὴν παρέξαι τὸν λόγον. praeterüit autem THESSALIAM: prohibebatur enim illis prædicare verbum. unde clare patet Θεσσαλίαν antiquitus lectam fuisse in com. præcedenti: aliter enim ineptum et extra rem erit istud scholion. quare enim Paulum in *Thessalia* potissimum prohibitum fuisse prædicare narrarat Annotator iste, si nulla ante facta *Thessaliæ* mentio? cur non in *Beotia*, per quam, vel in *Attica*, per partem cujus, neque necesse habuit transire, antequam Athenas perveniret? Lucas igitur hoc dicere mihi videtur: Christiani Berœenses dissuadebant Paulum proposito eundi in *Thessaliam*, ut ibi Christum prædicaret. quando autem Thessaliam advenit, prohibitus forte fuit a Sp. Sancto (vide c. XVI. 6. 7.), quia tunc Athenas destinabatur. recta igitur Athenas pergit, usque quas eum comitati sunt deductores Berœenses. Ὡς denotat *propositum*, ut apud Xenophontem Ἀναβ. I. 1. 3. συλλαμβάνει Κῦρον, ὡς ἀπολοῦντα. consilio interficiendi. et in Orat. de Agesil. p. 652. Ἀθρεῖτον πολὺ στρέψαντα, ὡς ἐπὶ τοὺς Ἕλληνας. Thucydides V. 3. ἥκειν σπένδεσθαι τὸν Ἄδαν, ὡς ἐπὶ τὴν Ἀμφίπολιν. vide Segm. VI. et ita passim. Ille, et cæteri fere Græci Scriptores. Porro: idem error insederat Max. Tyrium Dissert. XXX. p. 316. ed. Cantabr. ὁ Θάλαττα ἐπαλύζεται, ὁ Λέτης φλέγεται. sed restituit Stephanus, ὁ Θεσσαλὸς ἐπαλύζεται, ex pari loco Dissert. XXV. MARKLAND.

Καὶ τοὺς καὶ ὕστερον] F. καὶ τοὺς ὕστερον

γενομένους, ὀμόσαι ὅπου ἂν αὐτὸς λέγῃς. καίτοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα, ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον καταλιπεῖν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πατρὸς οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκιρνημένον [1] ναυτικὰ καὶ τετρακισχιλίας δραχμάς. καὶ τούτων τὰ γράμματα [2] ἀπέδειξεν' ἐν γὰρ τῇ [3] διοικήσει, ὅτ' ἐκ Κολυττοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπι- 902
τυχόντας ἐμβεβλημένῳ [4] τῷ βιβλίῳ ἐνεγκεῖν πρὸς ταύτην· ἀπέφηνε δ' αὐτὸν [5] ἑκατὸν μνᾶς κεκομισμένον ἐγγύους ἐπὶ τούτῳ δεδανεισμένας, καὶ ἑτέρας διακοσίας δραχμὰς καὶ ἕνδεκα στατῆρας ἀξίαν· φοιτᾶν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερρονήσου καθ' ἕκαστον ἐνιαυτόν. ἔπειτα σὺ ἐτόλμησας 903
ἔφη εἰπεῖν ἔχων τοσαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε καὶ τριάκοντα στατῆρας; [6] ἃ παρ' ἐμοὶ [7] καταλει-

[1] αὐτίκα T.
[2] ἐνέδειξεν T. R. A.
[3] διοικήσει T.
[4] τῷ om. T. R. A.
[5] εἴκοσι A.
[6] ἄντερ ἐμοὶ T. ταῦτα ἐμοὶ A.
[7] καταλειφθέντας A.

π. τ. λ. TAYLOR. Scribe, καὶ τοὺς ὕστερον, omisso ultimo καί. Paulo post pro αὐτίκα supra monui legendum ναυτικά. MAPPELAND.

Ὅταν ἀν αὐτὸς λέγῃς] F. ἔταν ἂν αὐτὸς δίλῃς. TAYLOR. Bene habet λέγῃς, tantundem valens atque κελεύῃς. apud quascunque tandem tribunal, vel templum, tu mihi aias jurandum esse, h. e. me jubeas jurare. REISK.

Ἑπτὰ τάλαντα — καὶ τετρακισχιλίας δραχμὰς] Supra ἑπτὰ τάλαντα, καὶ τετρακόσια μνᾶς. Sed perinde est, ut alibi in superioribus notavi. Ita et hæc quoque concordant, quæ modo dicenda erant: σὺν ἐτόλμησας εἰπεῖν — ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε, καὶ τριάκοντα στατῆρας. cum prius dixerat: ἔφη Διογείτων, ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου, καὶ τριάκοντα στατῆρας. TAYLOR.

Τῇ διοικήσει] Imo τῇ διοικήσει. nec videri debet hoc ταυτολόγων, ut nec illud Æschinis p. 152. ed. Lips. περὶ τῶν διατριβῶν, ἃς συνδιέτριβον ἀλλήλαις. Mox legitur in cod. Helmst. τῷ βιβλίῳ, sed melius fortasse τῷ (enclitice) βίβλ., id est, τιν. MATTHÆI.

Διῳκίζετο] Ad Diogitonem redit. REISK.

Τοὺς παῖδας] ξυνίβη τοὺς παῖδας, aut simile. SCHOTT. Quod verum videtur. MAPPELAND. Nihil hic deest, sed est oratio obliqua, qualis est referentium ab aliis dicta, ápta ex. ἴφη præmisso et hic subaudiendo. aiebat illa mulier, narrat Diogitonis reperisse schedas inter transmigrandum ex alia domo in aliam abjectas, vel amissas, illasque ad se attulisse, mulierem puta hanc nientem. REISK.

Πρὸς ταύτην] Imo vero πρὸς αὐτὴν vel πρὸς ἑαυτήν. IDEM.

Ἐγγύους] F. ἐγγείους. creditas super fundis in terra continente. IDEM.

Ἐπὶ τούτῳ] Subaudi τῷ χωρίῳ, vel εἰσομένην, opponitur hoc fœnus τοῖς ναυτικοῖς χρήμασιν. Fœnus nauticum multo erat gravius, quam terrestre, seu illud, quod penditur de fundis et immobilibus. IDEM.

Ἑτέρας διακοσίας δραχμὰς] Mirum ni hæ sint ipsissimæ MM. drachmæ (ut legendum esse supra monui), quæ ne pro totidem minis computentur, dudum intercessi. TAYLOR.

Ἄντερ ἐμοὶ καταλειφθέντα, ἐκείνου τελευτήσαντος ἐξέπλευσε etc.] Lego: ἅντε εἰ μὴ καταλείφθη, εἶτα ἐκείνου τελευτήσαντος ἐξέπλευσε ἀν δυνατὸς ἦν — ἂς ἐκείνος παρά σοι κατέθετο; quæ quæ si non reliquæ facio-

φθέντα ἐκείνου τελευτήσαντος [1]ἐγώ σοι ἔδωκα. καὶ [2]ἐκβαλεῖν τούτους [3]ἠξίωκας θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὑτῶν ἐν τριβωνίοις, ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρωμάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν ἐπίπλων ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακαταθηκῶν ἃς ἐκεῖνος παρά σοι κατέθετο. καὶ νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμως ἐκ τῆς οἰκίας ἐκβαλὼν ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι προθυμῇ. καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε τοὺς θεοὺς φοβῇ, οὔτε ἐμὲ τὴν σὴν θυγατέρα [4]τὴν συνειδυῖαν αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιῇ χρημάτων. τότε μὲν οὖν, ὦ
904 ἄνδρες δικασταί, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων, οὕτω διετέθημεν [5]πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν, ἐνθυμούμενοι δὲ ὡς χαλεπὸν ἐξευρεῖν ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαι τινά, ὥστε, ὦ ἄνδρες δικασταί, μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθότων ἀπιόντας οἴχεσθαι σιωπῇ. [6]πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες.

[7]ΜΑΡΤΥΡΕΣ.

ς'. Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τῷ λογισμῷ προσέχειν τὴν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς πολίταις ἄξιον

[1] ἐγώ σοι --- τούτους om. T. A. [2] ἐκβάλλειν R. [3] ἐξίωσας T. A. [4] τὴν συνειδυῖαν om. T. [5] πάντες om. T. [6] πρῶτον --- μάρτυρες om. A. [7] ΜΑΡΤΥΡΕΣ. om. T. R. A.

sent, num ideo tu, ille mortuo, nepotes tuos ex filia ejeceres ex ædibus suis — sine fideicommissi, quæ pater eorum apud te deposuerat? Hanc locum, ut mutilum, asteriscis insignivit Vanderheidius, præeunte Schotto: sed sane et integra jam omnia esse puto. MARKLAND.

Τῶν δ' ἅπασι τοῖς πολίταις] Opinor: δ' ἐν ἅπασι τοῖς πολίταις, inter omnes cives. IDEM.

ὀργῆς ἠγήσησθε. εἰς τοσαύτην [1]γὰρ ὑποψίαν Διογείτων πάντας ἀνθρώπους εἰς ἀλλήλους καθίστησιν, ὥστε μηδὲ ζῶντας μηδὲ ἀποθνήσκοντας μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις πιστεύειν· ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος γενέσθαι, τὰ δὲ τελευτῶν ὁμολογήσας [2]ἔχειν, εἰς δύο παῖδας καὶ ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν ἑπτὰ 905
τάλαντα ἀργυρίου καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι. καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων [3]ὅποι στρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο, εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον [4][ἱμάτια] καὶ εἰς κουρεῖον οὐκ ἦν αὐτῷ κατὰ μῆνα οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δὲ παντὸς τοῦ χρόνου πλεῖον ἢ τάλαντον [5]ἀργυρίου. εἰς δὲ τὸ μνῆμα τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς ἐκ πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ αὐτῶν τίθησι τούτοις [6]λελογίσθαι. εἰς Διονύσια τοίνυν, ὦ ἄνδρες δικασταί, — οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ τούτου μνησθῆναι — 906
211 ἑκκαίδεκα δραχμῶν ἀπέφαινεν ἐωνημένον ἀρνίον, καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· ἐφ' [7]ὧν ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὗτος, ὦ ἄνδρες, ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους· λίαν γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο αὐτοῖς πλέον ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας, ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο, ὥσπερ

[1] δ' T.
[2] , ἰλθεῖν εἰς T. A.
[3] ὅπου T. R. A.
[4] uncos om. T. ἱμάτια om. A.
[5] ἀργυρίου λελόγισται. A.
[6] λελογίσθαι om. A.
[7] ᾧ A.

Ἢ τοῖς ἐχθίστοις πιστεύειν] Forte πιστεύσειν, ut de re futura. nisi malis πιστεῦσαι δεῖν. IDEM. Malim πιστεύσειν. AUGER.

Ὁμολογήσας ἔχειν, εἰς δύο παῖδας —] Sic correxi. Sententia est: Tandem aliquando vix et aegre fassus, se habere, (vel penes se esse). retulit in acceptis expensisque pro duobus liberis eorumque una sorore —. REISK.

Ὁμολογ., ἰλθεῖν] Junge cum ἀποδεῖξαι, *venire ostendere*, Gallice *venir montrer*. AUGER.

Εἰς γναφεῖον ἱμάτια] Εἰς γναφεῖον καὶ εἰς ἱμάτια. SCAL. Sylburgius legit: εἰς γναφεῖον ἱματίων. quod si admittatur, legi quoque debet κειρὰν, *tonsuram*, pro κουρεῖον. Forte: καὶ εἰς γναφεῖον, ἱματιά τε, καὶ εἰς κουρεῖον, οὐκ ἦν etc. Mox, pro τὸ μὲν ἥμισυ αὐτῶν τίθησι τούτοις λελογίσθαι, Schottus conjicit αὐτὰς. perperam: et recte habet αὐτῶν. sic infra: τὸ ἥμισυ τούτων τοῖς ὀρφανοῖς οὖσι λελόγισται. MARKLAND.

Αὐτῶν τίθησι τούτοις λελογίσθαι] Videtur sic leg. τὸ μὲν ἥμισυ αὐτῷ τίθησι, *partem dimidiam sibi imputat*, hoc est, alteras XXV. minas de suo erogasse, et fratris memoriae condonasse, τὸ δὲ τούτοις λελόγισται, alteras autem XXV. minas illis, nepotibus suis e filia et fratre, imputat, et in rationem expensorum refert. REISK.

Ἐφ' ὧν] Rectius ἐφ' ᾧ. SYLBURG.

διὰ τοῦτο ἐπίτροπος τῶν παίδων καταλειφθεὶς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξειε καὶ πενεστέρους ἀντὶ πλουσίων ἀποφήνειε, καὶ ἵνα, εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ', ἐπεὶ τῶν πατρώων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. καίτοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ, κατὰ τοὺς νόμους οἳ κεῖνται περὶ τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων καὶ τοῖς δυναμένοις, [1] μισθῶσαι τὸν οἶκον,
907 [2] ἀπηλλαγμένος πολλῶν πραγμάτων, ἢ γῆν [3] πριάμενος ἐκ τῶν προσιόντων τοὺς παῖδας τρέφειν. καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἔξων τὰ τούτων, ἡγούμενος δεῖν τὴν αὐτοῦ πονηρίαν κληρονόμον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων.

ζ'. Ὁ δὲ πάντων δεινότατον, ὦ δικασταί· οὗτος γὰρ συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεού-
908 σας πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτων τοῖς ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν. οὗτος δὲ πάππος ὢν παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας παρὰ τῶν θυγατριδῶν [4] αὐτοῦ τὸ ἥμισυ πράττεται. καὶ οὐκ ἐμέμψας

[1] μισθώσασι R. [2] ἀπηλλαγμένους T. R. ἀπηλλαγμένῳ A. [3] πριαμένους T. R. πριαμένῳ A. [4] αὐτῷ em. T. R. A.

Εἰσὶν] Aut ante, aut post hoc voc. deest ὑπ' αὐτοῦ. REISK. AUGER.

Ἀπηλλαγμένους] Ἀπηλλαγμένῳ. SCHOTT. Conjeceram ἀπηλλαγμένῳ, ut ad αὐτῷ referretur, non ad τοῖς δυναμένοις. Quod si verum sit (et verum puto), legi mox debet πριαμένῳ quoque, non πριαμένους. MARKLAND. Etiam Taylor malebat πριαμένῳ. verum non in ἀπηλλαγμένους, neque in πριαμένους est vitium (nam illa duo quidem vocabula labe carent), sed est in v. μισθῶσαι, pro quo dedi de meo μισθώσασι in dativo plur. participii aor. 1. μισθώσασιν ἀπηλλαγμένοις idem est atque ἀπηλλαγμένῳ διὰ τοῦ (vel διὰ τὸ) μισθῶσαι. Dativi autem hi apti sunt e τοῖς ἀδυνάτοις καὶ τοῖς δυναμένοις τῶν ἐπιτρόπων. Idem est, ac si dixisset: ἐξῆν αὐτῷ τρέφειν τοὺς παῖδας ποιοῦντι κατὰ τοὺς νόμους τοὺς κειμένους τοῖς ἐπιτρόποις (εἴτε ἀδύνατοί εἰσιν οἱ ἐπίτροποι, εἴτε δύνανται καὶ πλουτοῦσιν αὐτοὶ), τρέφειν τοὺς παῖδας καὶ οὕτως ἀπηλλάχθαι πολλῶν πραγμάτων, ἢ διὰ τοῦ μισθοῦν τὸν οἶκον, ἢ διὰ τοῦ πρίασθαι γῆν. poterat Diogiton suos nepotes alere e reditibus, si fecisset prout concedunt leges tutoribus (sive illi pauperes, sive divites sunt), ut faciant, nempe, ut pupillos suos alant, e reditibus bonorum, pupillis a patribus relictorum, sive substantiam universam pro mercede annua elocaverint, sive fundos cosmerint pro nummis in hæreditate relictis. [Malim nunc legi ἀπηλλάχθαι. *In Var. Lect.*] REISK.

Τῷ Ἀριστοδίκου] Fratri puta, non filio. Id quod e p. 625. 10. patet. IDEM.

Ἐκείνῳ συμβαλέσθαι] una cum illo contulisse. AUGER.

Τοῖς ὀρφανοῖς οὖσι] Aut τοῖς cum τούτοις est mutandum, aut potius τοῖς παισὶν ὑ. οὖ. pueris hisce tametsi orbi essent. item legi posset: τοῖς παισὶν ἀδελφιδοῖς (vel θυγατριδοῖς) καὶ ὀρφανοῖς οὖσι. tametsi sui nepotes ex fratre vel filia, iique orbi essent. REISK.

εἰς τὸν Ἀδρίαν ὀλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν [1]ἀπέστελλεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη· ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὐτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι. [2]καίτοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἔξει, ὅπη μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως δὲ ἐκ τῶν ἀλλοτρίων αὐτὸς πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ δικασταί, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς λογίζεσθαι. ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων ἡρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τοῦ Ἀλέξιδος — αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκὼς — εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας· ὁ δὲ ἔφασκεν εἶναι· καὶ 909
ἐλθόντες οἴκαδε εὕρομεν Διογείτονα [3]τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν. οὗτος δὲ ἐπέδειξε δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι, ὥστε τούτοις λελογίσθαι [4]ὅσονπερ ὅλον τὸ ἀνάλωμα αὐτῷ γεγένηται. καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μόνος διεχείριζεν, ὃς ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων ψεύδεσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὐτοῦ θυγατριδοῦς ζημιῶσαι; καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

ἡ. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ δικασταί· ἐγὼ δ' ὅσα τελευτῶν ὡμολόγησεν αὐτὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦμαι, πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων, καὶ θήσω ὅσον οὐδεὶς πώποτε ἐν τῇ 910
πόλει, εἰς δύο παῖδας καὶ ἀδελφὴν καὶ παιδαγωγὸν καὶ θεράπαιναν χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ, [5]μικρῷ

[1] ἀπέστειλεν T. A. [2] καὶ μέντοι T. [3] τετταράκοντα T. [4] ὅσον ὅπερ T. [5] μικρὸν T.

Τὰ γράμματα] Rationem gestæ tutelæ. MARKLAND. IDEM.

Τετταράκοντα] Lege τέτταρας cum Cantabrig. et Schotto. TAYLOR. Sic mox: ἐτόλμησε ψευσάμενος, τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὐτοῦ θυγατριδοῦς ζημιῶσαι. de eadem summa utrobique agitur.

Ὅσον ὅπερ] Ὅσονπερ. TAYLOR. Sylburgius: ὅσον ὑπὲρ ὅλων etc. pro toto illo negotio in universum. Verum puto, ὅσονπερ. MARKLAND.

Περὶ τούτων] Παρὰ τούτων. SYLBURG. Sine necessitate. REISK.

ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας. ἐν ὀκτὼ ἔτεσιν αὗται γίνονται ὀκτακισχίλιαι δραχμαί, καὶ ἀποδείκνυνται, ἐξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ' ὑπὸ τῶν λῃστῶν ἀπολωλεκὼς, οὔτε ζημίαν εἰληφὼς, οὔτε χρήσταις ἀποδεδωκὼς[1] * * *

[1] asteriscos om. T. R. A.

Τῶν ἑπτὰ ταλάντων] Ista septem talenta modo in initio computi erant VII *cum* XL *minis:* quæ nescio quo pacto ex hoc loco exoiderunt. Ecce enim

	Tal.	Min.
	7	40
Subduct. 8000 drachm.	1	20
Residuum erit —	6	20

TAYLOR.

Τῶν ἑπτὰ ταλάντων, καὶ εἴκοσι μναῖ] Deesse hic quædam ad calculum animadvertimus. SCHOTT. Recte. nempe desunt voces τῶν τετταράκοντα μνῶν post εἴκοσι μναῖ· quippe 6000 drachmæ efficiunt 60 minas, seu Talentum Atticum: 2000 vero drachmæ, Viginti minas. Si igitur ex Septem Talentis deducas 6000 drachmas, et ex Quadraginta minis 2000 drachmas, restabunt Sex Talenta et Viginti minæ. Eodem recidet, si legas: καὶ ἀποδείκνυται ἐξ τάλαντα περιόντα, καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν etc. omissis vocibus τῶν ἑπτὰ ταλάντων, quæ Marginali notæ forte debentur. MARKLAND.

Ἀπολωλεκὼς] Post ἀπολωλεκὼς videtur οὐδὲν deesse. REISK. Sub. τὰ χρήματα, vel aliud quid. AUGER.

ΛΥΣΙΟΥ

ΟΛΥΜΠΙΑΚΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Λύσης συνηγορεῖ, ἐν ᾧ πείθει τοὺς Ἕλληνας ἀγομένους Ὀλυμπιάσι τῆς πανηγύρεως ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς καὶ Σικελίαν ἐλευθερῶσαι, ἄρξασθαί τε τῆς ἐχθρᾶς αὐτόθι μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ πεποσμημένην. Ἐπεμψε γὰρ θεωρὸς εἰς τὴν πανήγυριν ὁ Διονύσιος ἄγοντας θυσίαν τῷ Διΐ· μεγαλοπρεπὴς τε κατασκευὴ τῶν Διωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελὴς, ἵνα Σευ-
Pag. ed. H. Steph. μασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν τοιαύτην ποιοῦ- Pag. ed. Reisk.
ται τὴν ἀρχὴν τοῦ λόγου. Dionys. Halic. in Lysia.

212 α'. ΑΛΛΩΝ τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ 911
ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ [1] πλούτῳ, γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ
τῆς Ἑλλάδος, ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλ- 912
θωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι· ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν [2] γενέσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο· ἐγὼ δὲ ἥκω οὐ μικρολογησόμενος οὐδὲ περὶ τῶν ὀνομάτων μαχού-

[1] πλούτου A. [2] γενήσεσθαι A.

ΟΛΥΜΠΙΑΚΟΣ] Præter Dionys. Halic. qui nobis conservavit luculentum hoc fragmentum, memorant Theo c. 1. et Diod. Sic. ad Olymp. XCVIII. Μετὰ δὲ ταῦτα διεγίλιον τὸν Διονύσιον, καὶ κατηγόνισεν ἐπὶ τοσοῦτον, ὥστε τινὰς τολμῆσαι διαρπάζειν τὰς σκηνάς. καὶ γὰρ Δυσίας ὁ ῥήτωρ τότε διατρίβων ἐν Ὀλυμπίᾳ περιετρίψατο τὰ πλεῖστα μὲν προσδίχεσθαι τοῖς ἱεροῖς ἀγῶσι τοὺς ἐξ ἀσεβεστάτης τυραννίδος ἀπεσταλμένους θεωρούς. ὅτι καὶ τὸν Ὀλυμπιακὸν λόγον ἐπιγεγράφηται ἀνίγω. TAYLOR.

Πλούτῳ] Lege πλούτου. TAYLOR. Varius πλούτου, ut σωμάτων ἀγῶνα, et γνώμης ἐπίδειξιν, casu secundo. Orat. II. ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου. MARKLAND. Bene habet vulgata. genitivus si debebit hic obtinere, malim πλούτων. REISK.

Ἐν τῷ καλλίστῳ] Sub. τόπῳ, quod addit Contius. AUGER.

Ἡγήσατο γὰρ — ἀρχὴν γενέσθαι] Vel γενήσεσθαι, vel ἀρχὴν ἂν γενέσθαι, opinor legendum. MARKLAND. Etiam Matthæi V. C. γενήσεσθαι adscripserat. Sæpissime tamen aoristus vicem futuri gerit. REISK.

Ὀνομάτων] Pungit philosophos, quorum plerumque pugnæ super merjs vocabulis. IDEM.

μενος. ἡγοῦμαι γὰρ ταῦτα, ἔργα μὲν εἶναι [1]σοφιστῶν λίαν
913 ἀχρήστων καὶ σφόδρα ζίου δεομένων, ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου περὶ τῶν μεγίστων συμβουλεύειν, ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην· ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι τὰ δὲ κωλῦσαι, εἰδότας ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλτιστα [2]πονούντων. ὁρῶμεν γὰρ τοὺς κινδύνους καὶ μεγάλους
914 καὶ πανταχόθεν περιεστηκότας· ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχὴ τῶν κρατούντων τῆς θαλάσσης, τῶν δὲ χρημάτων βασιλεὺς ταμίας, τὰ δὲ τῶν Ἑλλήνων σώματα τῶν δαπανᾶσθαι δυναμένων, ναῦς δὲ πολλὰς [3]μὲν αὐτὸς κέκτηται, πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους τῆς σωτηρίας ἀντέχεσθαι, καὶ περὶ μὲν τῶν παρελημμένων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δεδιέναι, καὶ τοὺς προγόνους μιμεῖσθαι, οἳ τοὺς μὲν βαρβάρους

[1] σοφὰ τῶν λίαν χρειστῶν T. [2] τῶν αὐτῶν T. R. τῶν ἀτυχούντων A.
[3] μὲν om. T. R. post αὐτὸς ponit A.

Χρειστῶν] Ad nomin. χρήστης referri voluit Sylburg. TAYLOR. Conjicio: ἔργα μὲν εἶναι σοφιστῶν λίαν ἰρισταιῶν (vel ἰριστῶν), καὶ σφόδρα ζίου δεομένων. *arbitror enim haec esse sophistarum valde contentiosorum, et victus valde indigentium.* Aristocles apud Eusebium Praep. Evang. XV. 1. σοφισταὶ, καὶ ἰριστικοὶ, καὶ ῥήτορες. Dion. Halicarnassensis in Isocrate: παφυμίσην δὲ παραλαζὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν, πρῶτος ἰχώρησεν ἀπὸ τῶν ἰριστικῶν τε καὶ σοφιστικῶν ἐπὶ τοὺς πολιτικούς. ita legendum puto pro, καὶ φυσικῶν. Ex Diog. Laertio Lib. IX. Vit. Protagorae: καὶ πρῶτος — σόφισμα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάπυρον ἀφεὶς, περὶ ταύτης διελήχθη. καὶ τὸ τῶν ἐριστικῶν γένος τῶν ἰριστικῶν ἐγύμνωσεν. Quin et scripsit Protagoras τέχνην ἰριστικῶν, teste eodem Laertio. Legi quoque potest ἀχρήστων pro χρειστῶν. MARKLAND. Ego dedi σοφιστῶν λίαν ἀχρήστων. *sophistarum ineptorum, nulli rei utilium.* REISK.

Ἐπειδὴ δὲ] Scil. ταῦτα πάσχομεν. quanquam nullus dubito, nonnihil hic deesse. IDEM.

Τῶν μὲν — τὰ δὲ] Malim τῆς μὲν, scil. στάσεως, et τὰ δὲ, scil. φιλονεικίαν. Pro κωλῦσαι nescio an κολοῦσαι leg. sit. IDEM.

Γνῶναι δὲ τὰ βέλτιστα, τῶν αὐτῶν] Οὐ τῶν αὐτῶν. CONT. Nisi fallor, scripsit Lysias τῶν ἀτυχούντων, non τῶν αὐτῶν, et forte ἐστι τῶν εὖ πραττόντων. *risori et contendere solent rebus secundis utentes: qui vero in adversis sunt, quid optimum factu sit, consulere.* Huc tendit Ratio, et confirmant sequentia. Mox, δαπανᾶσθαι significatione activa sumendum, *pecuniam insumere;* ut Orat. XXV. πλείω τῶν ὑπὸ τῆς πόλεως ἀφορολογήτων ἀναλισκόντων. Interpres Brabantius male vertit: *consumi et deleri.* MARKLAND. Videtur sic ferme leg. γνῶναι δὲ τὰ βέλτιστα τῶν δεδιότων περὶ αὐτῶν, aut τῶν ἐν κινδύνῳ καταστάντων. *consilia autem capessere sapientissima, est hominum de se sollicitorum, aut in discrimine versantium.* REISK. Pro τῶν αὐτῶν dedi de meo τοιούτων.

Πολλὰς αὐτὸς] Malim μὲν interpositi. IDEM. αὐτὸς, nec Persarum. AUGER.

ἀπαίρησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας τῆς σφετέρας αὐτῶν ἀστερῆσθαι, τοὺς δὲ τυράννους ἐξελάσαντες κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν.

β. Θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώμενοι παιομένην τὴν Ἑλλάδα περιορῶσιν, ἡγεμόνες ὄντες τῶν Ἑλλήνων οὐκ ἀδίκως καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν καὶ διὰ τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην, μόνοι δὲ οἰκοῦντες ἀκατάθητοι καὶ ἀτείχιστοι καὶ ἀστασίαστοι καὶ ἀπτητοι καὶ [1] τρόπαις αἰεὶ τοὺς αὐτοὺς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς [2] κεκτῆσθαι, καὶ ἐν 915
τοῖς παρελληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλά-

[1] τόποις Τ. [2] κεκτήσεσθαι A.

Τὴν πρὸς τὴν πόλεμον ἐπιστήμην] Num τὴν τῶν περὶ τὸν πόλ. ἐπιστ. Reisk.

Τόποις δὲ τοῖς αὐτοῖς] Lege: τρόποις. *moribus.* quod, de Lacedæmoniis dictum, probatione non indiget. Quæ vero præcedant sic distingui debent: ἡγεμόνες ὄντες τῶν Ἑλλήνων (οὐκ ἀδίκως, καὶ διὰ — ἐπιστήμην), μόνοι δὲ οἰκοῦντες ἀκατάθητοι etc. quæ ultima Vanderheidius sic vertit: *soli vero portu careant.* Miror, unde hanc interpretationem expiscatus est. Vult Lysias: *soli vero ex omnibus Græcis terram habitantes vastationibus hostilibus non obnoxiam,* vel, *quæ non vastata fuit;* (vide Hesychium V. ἀκατάθητος) unde Epaminondas apud Ælianum Var. Hist. XIII. 42. dicit: *Laconicam πεντακοσίοις ἐναυτοῖς ἀβλάπτου οὖσαν, per quingentosannos non vastatam.* scil. usque ad tempora sua, quæ seriora erant hujus Orationis scriptione. Demades: *ὁ δὲ περίπλεων ἀνάρχατος ἐν πολέμοις σάλπιγγος ἐὐφόνου, βοιωτὸς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶδεν.* loquitur de pugna Leuctrica. Dinarchus adv. Demosthenem: *τότε τὸν ἐν Λεύκτροις μάχην νικήσαντα ὑπὸ τῶν Θηβαίων πόλις, τότε εἰς τὸν ἀπόρθητον νομιζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλεν.* Archidamus apud Isocratem p. m. 245. *ἐν γὰρ τοῖς ἐπικαίροις χρόνοις, οὐδένες πώποτε πειρῶντες ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον.* de Laconica loquitur. Æschines κατὰ Τιμάρχ. §. λε'. οὐ πόλιν (l. πολὺν) *χρόνον τὴν Σπάρτην ἀπόρθητον εἰπόντα, τοιούτους ἐν ταῖς ἐκκλησίαις συμβούλους χρήσεται.* Thucydides quoque ad hanc Lacedæmoniorum felicitatem alludit lib. VIII. segm. 24. et Max. Tyrius Dissert. XXXIII. p. 346. Edit. Cantabr. vocat Spartam *πόλιν ἀθάνατον πολεμίων, ἀθάνατον ξυμπάντων ἀνθρώπων.* unde Xenophon narrat Ἑλλην. lib. VI. 5. 28. post pugnam Leuctricam, quando Thebani Laconicam vastabant, mulieres Spartanas *ne fumum quidem aspicere sustinuisse, ἅτε οὐδέποτε ἰδοῦσαι πολεμίους, quippe quæ hostes nunquam vidissent.* et magnus inde honor Thebanis, ὅτι πεποιηκότες τὴν χώραν τῶν Λακεδαιμονίων ἔφαινοντο, ut refert Idem Ἑλλην. VII. 1. 35. Patet jam, quare ἀπόρθητοι hic dicantur Lacedæmonii. Sit igitur ut Laconica, secundum Epaminondæ dictum, ἀπόρθητος et ἄβλητος fuerit per 500 annos, nempe usque ad pugnam Leuctricam, seu Olympiad. CII. Justinus enim, qui lib. III. refert, Periclem (multis annis ante Epaminondam) "Spartanorum agros vastasse, et totam Spartam deprædatam esse," refellitur a Perizonio ad Æliani locum modo citatum. Sed quomodo refellemus Thucydidem? qui lib IV. 41. narrat, Messenios, anno VII Belli Peloponnesiaci, seu Olympiad. LXXXVIII. 4. *agrum Laconicum latrociniis infestasse* (λῃΐζειν) *maximisque maleficiis affecisse.* et notat rem hanc novam Lacedæmoniis contigisse: *οἱ δὲ Λακεδαιμόνιοι, ἀμαθεῖς* (potius ἀπαθεῖς) *ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας, καὶ τοῦ τοιούτου πολέμου, — οὐ ῥᾳδίως ἔφερον. Lacedæmonii vero, quod superiore tempore latrocinia et hujusmodi bellum non experti fuerant, ægre ferebant.* vide et V. 14. ubi iterum meminit λῃστευομένης τῆς χώρας. Non igitur, ut videtur, ἀβλήτους Laconica usque ad tempora Epaminondæ. nisi dicendum sit, has incursiones non adeo magni momenti fuisse nec inter vastationes numerari dignas. Markland.

Κεκτῆσθαι] Malim κεκτήσεσθαι in futuro tertio. Reisk.

916 δος περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων· οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν ἀλλ' οἰκείας, οὐδ' ἀναμεῖναι ἕως [1] ἂν ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν ταύτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ [2] ἂν ἠνορῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων ἀλλὰ καὶ
917 δεινῶν, τοῖς μὲν μεγάλα ἐξημαρτηκόσιν ἐξουσία γεγένηται τῶν πεπραγμένων, τοῖς δὲ Ἕλλησιν οὐδεμία αὐτῶν τιμωρία [3]* * *

[1] ἂν om. T. A. [2] ἂν αἰσχύνοιτο ἠνορῶν A. [3] asteriscos om. T. R. A.

Ἀμφοτέρων] Regis Persarum puta, et Dionysii. IDEM.

Ἠνορῶν] Π. ἠνορῷ, ὑ, ἠνορύω. H. STEPHAN. Ultimum verius puto. MARKLAND. Hic deest parum quid. fort. leg. est: τίς γὰρ οὐκ ἂν ἠντρέπετο ἠρῶν. *ecquem enim non pudeat videntem?* Ad τυλίμῳ subauditur ἡμῶν. αὐτοὺς redit ad hostes communes Græciæ modo nominatos. REISK. Fort. τίς γὰρ οὐκ ἀνιᾶται ἠρῶν.

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΑΛΥΣΑΙ ΤΗΝ ΠΑΤΡΙΟΝ ΠΟΛΙΤΕΙΑΝ ΑΘΗΝΗΣΙ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

